ελογίζοντο.
Καὶ ἐπλάτυναν ἐπ᾽ ἐμὲ τὸ στό-
μα αὐτῶν. εἶπον εὖγε εὖγε
εἴδον οἱ ὀφθαλμοὶ ἡμῶν.
Εἶδες κύριε μὴ παρασιωπή-
σῃς. κύριε μὴ ἀποστῇς ἀπ᾽ ἐ-
μοῦ.
Ἐξεγέρθητι κύριε καὶ πρόσχες
τῇ κρίσει μου. ὁ θεός μου καὶ
ὁ κύριός μου εἰς τὴν δίκην
μου.
Κρῖνόν με κύριε κατὰ τὴν δι-
καιοσύνην σου. κύριε ὁ θεός
μου καὶ μὴ ἐπιχαρείησάν
μοι.
Μὴ εἴποιεν ἐν καρδίαις αὐ-
τῶν εὖγε εὖγε τῇ ψυχῇ ἡμῶν
μηδὲ εἴποιεν κατεπίομεν
αὐτόν.
Αἰσχυνθείησαν καὶ ἐντρα-
πείησαν ἅμα οἱ ἐπιχαίροντες
τοῖς κακοῖς μου.
Ἐνδυσάσθωσαν αἰσχύνην καὶ

Non insultent mihi inimi-
cantes mihi iniuste odien
tes me gratis. & annuen
tes oculo.
Quoniã mihi qdẽ pacifica loque-
bantur. & ad iracundiã dolos cogi
tabant.
Et dilatauerunt super me
os eorum. dixerunt euge euge
uiderunt oculi nostrum.
Vidisti domine ne sile
as. domine ne discedas a
me.
Exurge domine. & intende
iudicio mei. deus mei. &
dominus mei in causam
mei.
Iudica me domine secundum iusti-
ciam tui. domine deus
mei. & non insultent
mihi.
Non dicant in cordibus eo-
rum euge euge animæ nostrum.
neq dicant deuorabimus
eum.
Erubescant. & reuerean
tur simul gaudentes
malis mei.
Induantur confusionem &

ἐντροπὴν οἱ μεγαλορρημονοῦν-
τες ἐπ᾽ ἐμέ.
Ἀγαλλιάσθωσαν καὶ εὐφρανθή-
τωσαν οἱ θέλοντες τὴν δικαι-
οσύνην μου.
Καὶ εἰπάτωσαν διαπαντὸς
μεγαλυνθήτω ὁ κύριος. οἱ θέ-
λοντες τὴν εἰρήνην τοῦ δού-
λου αὐτοῦ.
Καὶ ἡ γλῶσσά μου μελετήσει
τὴν δικαιοσύνην σου. ὅλην
τὴν ἡμέραν τὸν ἔπαινόν σου.

reuerentiam magniloquen-
tes super me.
Exultent. & læten-
tur uolentes iusti-
ciam mei.
Et dicant semper
magnificetur dominus. uolen
tes pacem ser-
ui eius.
Et lingua mei meditabitur
iusticiam tui. totam
diem laudem tui.

Εἰς τὸ τέλος τῷ δούλῳ τοῦ
κυρίου Δαυίδ.

In finem seruo
domini Dauid.

Φ ησὶν ὁ παράνομος
τοῦ ἁμαρτάνειν ἐν ἑαυ-
τῷ. οὐκ ἔστι φό-
βος θεοῦ ἀπέναντι τῶν ὀφ-
θαλμῶν αὐτοῦ.
Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ
τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ
καὶ μισῆσαι.
Τὰ ῥήματα τοῦ στόματος αὐ-
τοῦ ἀνομία καὶ δόλος. οὐκ ἠ-
βουλήθη συνιέναι τοῦ ἀγαθῦ-
ναι.
Ἀνομίαν διελογίσατο ἐπὶ τῆς

d icit iniquus
delinquere in se-
ipso. non est ti-
mor dei ante ocu-
los eius.
Quoniam dolose egit coram ipo
inuenire iniquitatem eius
& odisse.
Verba oris e-
ius iniquitas. & dolus. nō uo-
luit intelligere bene age-
re.
Iniquitatē cogitauit in

κοίτης αὐτοῦ. παρέστη πάσῃ
ὁδῷ οὐκ ἀγαθῇ. κακίᾳ δὲ οὐ
προσώχθισε.
Κύριε ἐν τῷ οὐρανῷ τὸ ἔλεός
σου. καὶ ἡ ἀλήθειά σου ἕως
τῶν νεφελῶν.
Ἡ δικαιοσύνη σου ὡς ὄρη θεοῦ.
τὰ κρίματά σου ἄβυσσος
πολλή.
Ἀνθρώπους καὶ κτήνη σώσεις
κύριε. ὡς ἐπλήθυνας τὸ ἔλε-
ός σου ὁ θεός.
Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν
σκέπῃ τῶν πτερύγων σου ἐλ-
πιοῦσι. μεθυσθήσονται ἀπὸ
πιότητος οἴκου σου. καὶ τὸν
χείμαρρον τῆς τρυφῆς σου
ποτιεῖς αὐτούς.
Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς ἐν τῷ
φωτί σου ὀψόμεθα φῶς.
Παράτεινον τὸ ἔλεός σου τοῖς
γινώσκουσί σε. καὶ τὴν δικαι-
οσύνην σου τοῖς εὐθέσι τῇ καρ-
δίᾳ.
Μὴ ἐλθέτω μοι πούς ὑπερηφα-
νίας. καὶ χεὶρ ἁμαρτωλοῦ
μὴ σαλεύσαι με.
Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργα-
ζόμενοι τὴν ἀνομίαν. ἐξώσ-

cubili eius. astitit omni
uiæ non bonæ maliciæ autem non
succensuit.
Domine in cælo misericordia
tui. & ueritas tui usq;
nubium.
Iusticia tui sicut montes dei.
iudicia tui abyssus
multa.
Homines & iumenta saluabis
domine. sicut multiplicasti miseri-
cordiam tui deus.
Sed filii hominum in
uelamento alarum tui spera
bunt. inebriabuntur ab
ubertate domus tui. &
torrentem delitii tui — Delitiarum tui posuit pro voluptatis tuæ.
potabis eos.
Quoniam apud tibi fons uitæ. in
lumine tui uidebimus lumen.
Prætende misericordiam tui
scientibus te. & iustici-
am tui rectis cor-
de.
Non ueniat mihi pes super-
biæ. & manus peccatoris
non moueat me.
Ibi ceciderunt omnes operan
tes iniquitatem. expul-

θησαν καὶ οὐ μὴ δυνῶνται	si sunt . & non poterunt
στῆναι .	stare .
Δό . ψαλμὸς τῷ Δαυὶδ . λϛ .	Gloria . Psalmus Dauid . xxxvi .
μ ὴ παραζήλου ἐν	n e æmulare in
πονηρευομένοις . μηδὲ	malignantibus . neque
ζήλου τοὺς	æmulare
ποιοῦντας τὴν ἀνομίαν .	facientes iniquitatem
Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξη -	Quoniã tanquã foenũ cito are -
ρανθήσονται . καὶ ὡσεὶ λάχα -	scent . & tanquam hole -
να χλόης ταχὺ ἀποπεσοῦν -	ra herbæ cito deci -
ται .	dent .
Ἔλπισον ἐπὶ κύριον καὶ ποίει	Spera in dominum . & fac
χρηστότητα . καὶ κατασκήνου	bonitatem . & inhabita
τὴν γῆν καὶ ποιμανθήσῃ ἐπὶ	terram . & pasceris in
τῷ πλούτῳ αὐτῆς .	diuitiis eius .
Κατατρύφησον τοῦ κυρίου . καὶ	Delectare domino . &
δώσει σοι τὰ αἰτήματα τῆς	dabit tibi petiones
καρδίας σου .	cordis tui .
Ἀποκάλυψον πρὸς κύριον τὴν	Reuela ad dominum
ὁδόν σου ἔλπισον ἐπ' αὐ -	uiam tui . & spera in
τὸν καὶ αὐτὸς ποιήσει .	eum . & ipse faciet .
Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαι -	Et educet tanq̃ lumen iusti -
οσύνην σου καὶ τὸ κρῖμα σου	ciam tui . & iudicium tui
ὡς μεσημβρίαν . ὑποτάγηθι	tanquam meridiem . subditus esto
τῷ κυρίῳ καὶ ἱκέτευσον αὐ -	domino . & ora
τόν .	eum .
Μὴ παραζήλου ἐν τῷ κατευο	Ne æmulare in prospe -

δουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ.	rante in uia eius.
ἐν ἀνθρώπῳ ποιοῦντι πα-	in homine faciente ini-
ρανομίαν.	quitatem.
Παῦσαι ἀπὸ ὀργῆς καὶ ἐγκατά-	Desine ab ira. & derelin-
λιπε θυμόν. μὴ παραζήλου	que furorem. ne æmulare
ὥστε πονηρεύεσθαι.	ut malignari.
Ὅτι οἱ πονηρευόμενοι ἐξολο-	Quoniam malignantes disper-
θρευθήσονται. οἱ δὲ ὑπομέ-	dentur. sed sustinentes
νοντες τὸν κύριον αὐτοὶ κληρο-	dominum ipsi hæredita-
νομήσουσι γῆν.	bunt terram.
Καὶ ἔτι ὀλίγον οὐ μὴ ὑπάρξῃ	Et etiam modicum non erit
ἁμαρτωλός. καὶ ζητήσεις τὸν	peccator. & quæres
τόπον αὐτοῦ καὶ οὐ μὴ εὕρῃς.	locum eius. & non inuenies.
Οἱ δὲ πραεῖς κληρονομήσου-	Sed mansueti hæredita-
σι γῆν καὶ κατατρυφήσουσιν ἐ-	bunt terram. & delectabuntur
πὶ πλήθει εἰρήνης.	in multitudine pacis
Παρατηρήσεται ὁ ἁμαρτωλὸς	Obseruabit peccator
τὸν δίκαιον. καὶ βρύξει ἐπ᾽ αὐ-	iustum. & stridebit super
τὸν τοὺς ὀδόντας αὐτοῦ.	eum dentibus eius.
Ὁ δὲ κύριος ἐκγελάσεται αὐτόν	Sed dominus irridebit eum.
ὅτι προβλέπει ὅτι ἥξει ἡ ἡμέ-	quoniam prospicit quod ueniat di-
ρα αὐτοῦ.	es eius.
Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρ-	Gladium eduxerunt pecca-
τωλοὶ ἐνέτειναν τόξον αὐτῶν.	tores: intenderunt arcum eorum.
τοῦ καταβαλεῖν πτωχὸν καὶ πέ-	deiicere inopem & paupe-
νητα. τοῦ σφάξαι τοὺς εὐθεῖς	rem. iugulare rectos
τῇ καρδίᾳ.	corde.
Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι	Gladius eorum intret
εἰς καρδίαν αὐτῶν. καὶ τὰ τό-	in cor eorum. & ar-

ξα αὐτῶν συντριβείη.
Κρεῖσσον ὀλίγον τῷ δικαίῳ.
ὑπὲρ πλοῦτον ἁμαρτωλῶν
πολύν.
Ὅτι βραχίονες ἁμαρτωλῶν
συντριβήσονται. ὑποστηρίζει
δὲ τοὺς δικαίους ὁ κύριος.
Γινώσκει κύριος τὰς ὁδοὺς
τῶν ἀμώμων. καὶ ἡ κληρονο-
μία αὐτῶν εἰς αἰῶνα ἔσται.
Οὐ καταισχυνθήσονται ἐν και-
ρῷ πονηρῷ. καὶ ἐν ἡμέραις λι-
μοῦ χορτασθήσονται ὅτι οἱ
ἁμαρτωλοὶ ἀπολοῦνται.
Οἱ δὲ ἐχθροὶ τοῦ κυρίου ἅμα τῷ
δοξασθῆναι αὐτοὺς καὶ ὑψω-
θῆναι ἐκλείποντες ὡσεὶ κα-
πνὸς ἐξέλιπον.
Δανείζεται ὁ ἁμαρτωλὸς καὶ
οὐκ ἀποτίσει. ὁ δὲ δίκαιος οἰ-
κτείρει καὶ δίδωσι.
Ὅτι οἱ εὐλογοῦντες αὐτὸν κλη-
ρονομήσουσι γῆν. οἱ δὲ καταρώ-
μενοι αὐτὸν ἐξολοθρευθήσον-
ται.
Παρὰ κυρίου τὰ διαβήματα ἀν-
θρώπου, κατευθύνεται. καὶ τὴν
ὁδὸν αὐτοῦ θελήσει σφόδρα
Ὅταν πέσῃ, οὐ καταραχθήσε-

eius eorum confringantur.
Melius modicum iusto.
super diuitias peccatorum
multas.
Quoniam brachia peccatorum
confringentur. confirmat
autem iustos dominus.
Nouit dominus uias
immaculatorum. & hære-
ditas eorum in sæculum erit.
Non confundentur in tempo-
re malo. & in diebus fa-
mis saturabuntur. quoniam
peccatores peribunt.
Sed inimici domini simul
glorificari eos. & exal-
tari deficientes quemadmodum fu
mus defecerunt.
Mutuatur peccator &
non soluet. sed iustus mise
retur & dat.
Quoniam benedicentes eum hæ
reditabunt terram. sed maledicen
tes eum disper-
dentur.
A domino gressus homi-
nis dirigetur. &
uiam eius uolet nimis.
Cum ceciderit non collide-

ται. ὅτι κύριος ἀντιστηρίζει
τὴν χεῖρα αὐτοῦ.
Νεώτερος ἐγενόμην καὶ γὰρ ἐγή
ρασα. καὶ οὐκ εἶδον δίκαιον ἐγ
καταλελειμμένον. οὐδὲ τὸ σ
πέρμα αὐτοῦ ζητοῦν ἄρτους.
Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δα
νείζει ὁ δίκαιος. καὶ τὸ σπέρ-
μα αὐτοῦ εἰς εὐλογίαν ἔσται.
Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίη-
σον ἀγαθόν. καὶ κατασκήνου
εἰς αἰῶνα αἰῶνος.
Ὅτι κύριος ἀγαπᾷ κρίσιν. καὶ οὐκ
ἐγκαταλείψει τοὺς ὁσίους αὐ-
τοῦ. εἰς τὸν αἰῶνα φυλαχθή
σονται.
Ἄνομοι δὲ ἐκδιωχθήσονται. καὶ
σπέρμα ἀσεβῶν ἐξολοθρευθή
σεται.
Δίκαιοι δὲ κληρονομήσουσι γῆν
καὶ κατασκηνώσουσιν εἰς αἰῶ
να αἰῶνος ἐπ' αὐτῆς.
Στόμα δικαίου μελετήσει σο
φίαν. καὶ ἡ γλῶσσα αὐτοῦ λα
λήσει κρίσιν.
Ὁ νόμος τοῦ θεοῦ αὐτοῦ ἐν καρ
δίᾳ αὐτοῦ. καὶ οὐχ ὑποσκελι
σθήσεται τὰ διαβήματα αὐ
τοῦ.

tur. quoniam dominus confirmat
manum eius.
Iunior fui & enim senui.,
& non uidi iustum dereli-
ctum: nec se-
men eius quærens panes.
Totam diem miseretur. & com-
modat iustus, & se-
men eius in benedictionem erit.
Declina a malo. & fac
bonum. & habita
in sæculum sæculi.
Quoniā dominus amat iudiciū &
non derelinquet sanctos e
ius in æternum conserua
buntur.
Iniusti autem punientur. &
semen impiorum peri-
bit.
Iusti autem hæreditabunt terram.
& inhabitabunt in sæcu-
lum sæculi in ea.
Os iusti meditabitur sa-
pientiam. & lingua eius loque-
tur iudicium.
Lex eius dei in cor-
de eius. & non supplan-
tabitur gressus e-
ius.

Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν
δίκαιον. καὶ ζητεῖ τοῦ θανατῶ-
σαι αὐτόν.
Ὁ δὲ κύριος οὐ μὴ ἐγκαταλίπῃ
αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ.
οὐδὲ μὴ καταδικάσηται αὐτὸν
ὅταν κρίνηται αὐτόν.
Ὑπόμεινον τὸν κύριον καὶ φύ-
λαξον τὴν ὁδὸν αὐτοῦ, καὶ ὑ-
ψώσει σε τοῦ κατακληρονομῆ-
σαι γῆν. ἐν τῷ ἐξολοθρεύε-
σθαι ἁμαρτωλοὺς ὄψει.
Εἶδον τὸν ἀσεβῆ ὑπερυψού-
μενον καὶ ἐπαιρέμενον ὡς
τὰς κέδρους τοῦ Λιβάνου.
Καὶ παρῆλθον καὶ ἰδοὺ οὐκ ἦν,
καὶ ἐζήτησα αὐτὸν καὶ οὐχ
εὑρέθη ὁ τόπος αὐτοῦ.
φύλασσε ἀκακίαν καὶ ἴδε εὐθύ-
τητα. ὅτι ἐστὶν ἐγκατάλειμμα
ἀνθρώπῳ εἰρηνικῷ.
Οἱ δὲ παράνομοι ἐξολοθρευθή-
σονται ἐπὶ τὸ αὐτό. τὰ ἐγκατα-
λείμματα τῶν ἀσεβῶν ἐξολο-
θρευθήσεται.
Σωτηρία δὲ τῶν δικαίων πα-
ρὰ κυρίου. καὶ ὑπερασπιστὴς
αὐτῶν ἐστὶν ἐν καιρῷ θλίψεως,
Καὶ βοηθήσει αὐτοῖς κύριος

Considerat peccator
iustum. & quærit mortifi-
care eum.
Sed dominus non derelinquet
eum in manus eius.
nec condempnabit eum
cum iudicabit eum.
Expecta dominum. & cu-
stodi uiam. & exalta-
bit te hæredita-
re terram. in disper-
di peccatores uidebit.
Vidi impium ela-
tum. & eleuatum sicut
cedros libani.
Et transiui: & ecce non erat.
& exquisiui eum. & non
inuentus est locus eius.
Custodi innocentiā: & uide æqui-
tatem: quoniam est reliquum
homini pacifico.
Sed iniqui disperden-
tur pariter. reliqui-
ae impioꝝ peri-
bunt.
Salus autem iustorum
a domino. & protector
eorū in tempore tribulationis.
Et auxiliabitur eis dominus

καὶ ῥύσεται αὐτούς. καὶ ἐξε-
λεῖται αὐτοὺς ἐξ ἁμαρτω-
λῶν, καὶ σώσει αὐτούς, ὅτι ἤλ-
πισαν ἐπ' αὐτόν.

Λό. καθ. ε.
Ψαλμὸς τῷ Δαυὶδ εἰς ἀνά-
μνησιν περὶ σαββάτου. λζ.

Κ ύριε μὴ τῷ θυμῷ
σου ἐλέγξῃς με.
μηδὲ τῇ ὀργῇ σου
παιδεύσῃς με.
Ὅτι τὰ βέλη σου ἐνεπάγησάν
μοι. καὶ ἐπεστήριξας ἐπ' ἐμὲ
τὴν χεῖρά σου.
Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί
μου ἀπὸ προσώπου τῆς ὀργῆς
σου. οὐκ ἔστιν εἰρήνη τοῖς ὀσ-
τέοις μου ἀπὸ προσώπου
τῶν ἁμαρτιῶν μου.
Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν
τὴν κεφαλήν μου. ὡσεὶ φορ-
τίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐ-
μέ.
Προσώζεσαν καὶ ἐσάπησαν οἱ
μώλωπές μου. ἀπὸ προσώ-
που τῆς ἀφροσύνης μου.
Ἐταλαιπώρησα καὶ κατε-

& liberabit eos. & eripi-
et eos ex peccato-
ribus & saluabit eos: quoniam spe
rauerunt in eum.

Gloria. sessio quinta
Psal mus Dauid in commemora
tionē de sabbato. xxxvii.

D omine ne furore
tui arguas me.
neque ira tui
corripias me.
Quoniam sagittæ tui infixæ sunt
mihi. & confirmasti super me
manum tuam.
Non est sanitas in carne
mei a facie iræ
tui non est pax ossi
bus mei a facie
peccatorum mei.
Quoniā iniquitates mei supauerūt
caput mei. sicut ho-
nus graue grauatæ sunt super
me.
Oluerunt. & putruerunt
cicatrices mei. a faci
e insipientiæ mei.
Laboraui. & curuatus

κάμφθην ἕως τέλους. ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.

Ὅτι αἱ ψυαί μου ἐπλήσθησαν ἐμπαιγμάτων. καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.

ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα. ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.

Κύριε ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου. καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.

Ἡ καρδία μου ἐταράχθη ἐγκατέλιπέ με ἡ ἰσχύς μου. καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστι μετ᾽ ἐμοῦ.

Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξεναντίας μου ἤγγισαν καὶ ἔστησαν.

Καὶ οἱ ἔγγιστά μου ἀπομακρόθεν ἔστησαν. καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου.

Καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας. καὶ δολιότητας ὅλην τὴν ἡ-

ſum uſque in finem. totam diem contriſtans ibam.

Quoniam lumbi mei impleti ſunt illuſionum. & non eſt ſanitas in carne mei.

Vexatus ſum: & humiliatus ſum uſq; uehementer. rugiebã præ gemitu cordis mei.

Domine ante te omne deſyderium mei. & gemitus mei a te non eſt abſconditus.

Cor mei conturbatum eſt dereliquit me uirtus mei. & lumen oculorum mei & ipſum non eſt cum me.

Amici mei. & proximi mei aduerſũ me appropĩquauerũt & ſteterunt.

Et iuxta me a longe ſteterunt. & uiolabant quærentes animam mei.

Et quærentes mala mihi locuti ſunt uanitates & dolos totam di-

μέραν ἐμελέτησαν.
ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκου-
ον· καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοί-
γων τὸ στόμα αὐτοῦ.
Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος
οὐκ ἀκούων. καὶ οὐκ ἔχων ἐν
τῷ στόματι αὐτοῦ ἐλεγμούς.
Ὅτι ἐπὶ σοὶ κύριε ἤλπισα. σὺ
εἰσακούσεις κύριε ὁ θεός μου.
Ὅτι εἶπα μήποτε ἐπιχαρῶσι
μοι οἱ ἐχθροί μου. καὶ ἐν τῷ σα-
λευθῆναι τοὺς πόδας μου ἐ-
π' ἐμὲ ἐμεγαλορρημόνησαν.
Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος.
καὶ ἡ ἀλγηδών μου ἐνώπιόν
μου ἐστὶ διαπαντός.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγε-
λῶ. καὶ μεριμνήσω ὑπὲρ τῆς
ἁμαρτίας μου.
Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκρα-
ταίωνται ὑπὲρ ἐμέ. καὶ ἐπλη-
θύνθησαν οἱ μισοῦντές με ἀ-
δίκως.
Οἱ ἀνταποδιδόντες μοι κακὰ
ἀντὶ ἀγαθῶν. ἐνδιέβαλλόν με
ἐπεὶ κατεδίωκον ἀγαθοσύνην.
Μὴ ἐγκαταλίπῃς με κύριε ὁ θε-
ός μου. μὴ ἀποστῇς ἀπ' ἐμοῦ.
Πρόσχες εἰς τὴν βοήθειάν μου

em meditati sunt.
Ego autem tanq̃ surdus non audie-
bam. & tanq̃ mutus non aperi-
ens os eius.
Et fui sicut homo
non audiens. & non habens in
ore eius redargutiones.
Quoniam in te domine speraui tu
exaudies me domine deus mei
Quoniam dixi nequando insultent
mihi inimici mei. & in com-
moueri pedes mei su-
per me magna locuti sunt.
Quoniam ego in flagella paratus.
& dolor mei coram
me est semper.
Quoniã iniquitatẽ mei ego an-
nunciabo. & cogitabo pro
peccato meo.
Sed inimici mei uiuunt. & confor-
tati sunt super me. & multiplica-
ti sunt odientes me in-
iuste.
Retribuentes mihi mala
pro bonis. calumniabantur me
quoniam sequebar bonitatem.
Ne derelinquas me domine de-
us mei. ne discedas a me.
Intende in adiutorium mei.

κύριε τῆς σωτηρίας μου.

εἰς τέλος τοῦ ἰδιθοὺμ ᾠ-
δὴ τῷ δαυίδ. .λη.

ε ἶπα φυλάξω
τὰς ὁδούς μου.
τοῦ μὴ ἁμαρ-
τάνειν ἐν
γλώσσῃ μου.
ἔθέμην τῷ στόματί μου φυ-
λακήν. ἐν τῷ συστῆναι τὸν
ἁμαρτωλὸν ἐναντίον μου.
ἐκωφώθην καὶ ἐταπεινώθην
καὶ ἐσίγησα ἐξ ἀγαθῶν. καὶ
τὸ ἄλγημά μου ἀνεκαινίσθη.
ἐθερμάνθη ἡ καρδία μου ἐν-
τός μου καὶ ἐν τῇ μελέτῃ
μου ἐκκαυθήσεται πῦρ.
ἐλάλησα ἐν γλώσσῃ μου γνώ-
ρισόν μοι τὸ πέρας μου, καὶ
τὸν ἀριθμὸν τῶν ἡμερῶν
μου τίς ἐστιν. ἵνα γνῶ τί ὑστε-
ρῶ ἐγώ.
ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέ-
ρας μου. καὶ ἡ ὑπόστασίς μου
ὡσεὶ οὐδὲν ἐνώπιόν σου.

domine salutis mei.

In finem idithum canti-
cum Dauid. .xxxviii.

d ixi custodiam
uias mei.
non pec-
care in
lingua mei.
Posui ori mei custo-
diam. in consistere
peccatorem contra me.
Obmutui & humiliatus sum
& silui ex bonis. &
dolor mei innouatus est.
Caluit cor mei in-
tra me. & in meditatione
mei exardescet ignis.
Locutus sum in lingua mei
notifica mihi finem mei. &
numerum dierum
mei quis est. ut sciam quid de-
sit mihi.
Ecce mensurabiles posuisti di-
es mei. & substantia mei
tanquam nihilum coram te

fi

Πλὴν τὰ σύμπαντα ματαιό-
της πᾶς ἄνθρωπος ζῶν.
Μέντοιγε ἐν εἰκόνι διαπορεύε-
ται ἄνθρωπος. πλὴν μάτην
ταράσσεται.
Θησαυρίζει καὶ οὐ γινώσκει τίνι
συνάξει αὐτά.
Καὶ νῦν τίς ἡ ὑπομονή μου, οὐ-
χὶ κύριος. καὶ ἡ ὑπόστασίς μου
παρὰ σοῦ ἐστίν.
Ἀπὸ πασῶν τῶν ἀνομιῶν μου
ῥῦσαί με. ὄνειδος ἄφρονι ἔ-
δωκάς με.
Ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ
στόμα μου. ὅτι σὺ ἐποίησας, ἀ-
πόστησον ἀπ᾽ ἐμοῦ τὰς μάστι-
γάς μου.
Ἀπὸ γὰρ τῆς ἰσχύος τῆς χει-
ρός σου ἐγὼ ἐξέλιπον. ἐν ἐλεγ-
μοῖς ὑπὲρ ἀνομίας ἐπαίδευ-
σας ἄνθρωπον.
Καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν
ψυχὴν αὐτοῦ. πλὴν μάτην
ταράσσεται πᾶς ἄνθρωπος.
Εἰσάκουσον τῆς προσευχῆς
μου κύριε, καὶ τῆς δεήσεώς
μου ἐνώτισαι. τῶν δακρύων
μου μὴ παρασιωπήσῃς.
Ὅτι πάροικος ἐγώ εἰμι παρὰ-

Veruntamen omnia uani-
tas. omnis homo uiuens.
Veruntamen in imagine pertran-
sit homo. ueruntamen frustra
turbatur.
Thesaurizat: & non cognoscit cui
congregabit ea.
Et nunc quae patientia mei non-
ne dominus. & substantia mei
abs te est.
Ab omnibus iniquitatibus mei
libera me. obprobrium insipiēti de-
disti me.
Obmutui. & non aperui
os mei. quoniam tu fecisti. a-
moue a me flagel-
la mei.
Ab enim fortitudine ma-
nus tui ego defeci. in increpatio-
nibus pro iniquitate erudiui-
sti hominem.
Et liquefecisti ut araneam
animam eius. ueruntamen frustra
turbatur omnis homo.
Exaudi orationis
mei domine. & precis
mei percipe. lacrimarum
mei ne tacueris.
Quoniam aduena ego sum apud

σοι. καὶ παρεπίδημος καθὼς πάντες οἱ πατέρες μου.
Ἄνες μοι ἵνα ἀναψύξω. πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκέτι οὐ μὴ ὑπάρξω.

εἰς τέλος
ψαλμὸς τῷ Δαυίδ. .λθ.

ὑ πομένων ὑπέμεινα τὸν κύριον. καὶ προσέσχε μοι.
Καὶ εἰσήκουσε τῆς δεήσεώς μου καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος.
Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου. καὶ κατεύθυνε τὰ διαβήματά μου.
Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινόν. ὕμνον τῷ θεῷ ἡμῶν.
Ὄψονται πολλοὶ καὶ φοβηθήσονται. καὶ ἐλπιοῦσιν ἐπὶ κύριον.
Μακάριος ἀνὴρ οὗ ἐστὶ τὸ ὄνομα κυρίου ἐλπὶς αὐτοῦ. καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς.

te. & peregrinus sicut omnes patres mei.
Remitte mihi ut refrigerer ante me abire & amplius non subsistam.

In finem
psalmus Dauid. .xxxviiii.

e xpectans expectaui dominum. & attendit mihi.
Et exaudiuit preces mei. & eduxit me ex lacu miseriæ. & a luto limi.
Et statuit super petram pedes mei. & direxit gressus mei.
Et immisit in os mei canticum nouum. hymnum deo nostrum.
Videbunt multi. & timebunt. & sperabunt in dominum.
Beatus uir cuius est nomen domini spes eius. & non respexit in uanitates. & insanias falsas.

Πολλὰ ἐποίησας σὺ κύριε ὁ
θεός μου τὰ θαυμάσιά σου. καὶ
τοῖς διαλογισμοῖς σου οὐκ ἔστι
τίς ὁμοιωθήσεταί σοι.
Ἀπήγγειλα καὶ ἐλάλησα. ἐπλη-
θύνθησαν ὑπὲρ ἀριθμόν.
Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέ-
λησας. σῶμα δὲ κατηρτίσω μοι.
Ὁλοκαυτώματα καὶ περὶ ἁ-
μαρτίας οὐκ ἐζήτησας. τό-
τε εἶπον ἰδοὺ ἥκω.
Ἐν κεφαλίδι βιβλίου γέγρα-
πται περὶ ἐμοῦ τοῦ ποιῆσαι τὸ
θέλημά σου, ὁ θεός μου ἠβουλή-
θην. καὶ νόμον σου ἐν μέσῳ
τῆς κοιλίας μου.
Εὐηγγελισάμην δικαιοσύνην
ἐν ἐκκλησίᾳ μεγάλῃ. ἰδοὺ τὰ
χείλη μου οὐ μὴ κωλύσω. κύ-
ριε σὺ ἔγνως.
Τὴν δικαιοσύνην σου οὐκ ἔκρυ-
ψα ἐν τῇ καρδίᾳ μου. τὴν ἀλή-
θειάν σου καὶ τὸ σωτήριόν σου
εἶπα.
Οὐκ ἔκρυψα τὸ ἔλεός σου καὶ
τὴν ἀλήθειάν σου. ἀπὸ συνα-
γωγῆς πολλῆς.
Σὺ δὲ κύριε μὴ μακρύνῃς
τοὺς οἰκτιρμούς σου ἀπ' ἐ-

Multa fecisti tu domine
deus mei mirabilia tui. &
cogitationibus tui non est
quis assimilabitur tibi.
Annunciaui & locutus sum. multi
plicati sunt super numerum.
Sacrificium & oblationem non uo
luisti. corpus aũt coaptasti mihi.
Holocautomata & de pecca-
to non quæsiuisti.
tunc dixi ecce uenio.
In capite libri scri-
ptum est de me. facere
uoluntatem tui, deus mei uo
lui. & legem tui in medio
uentris mei.
Annunciaui iusticiam
in concione magna. ecce
labia mei non prohibebo. do
mine tu scisti.
Iusticiam tui non abscon-
di in corde mei. ueri
tatem tui: & salutare tui
dixi.
Non abscondi misericordiã tui &
ueritatem tui. a conci
lio multo.
Tu autem domine ne elonges
miserationes tui a

μου. τὸ ἔλεός σου καὶ ἡ ἀλή-
θειά σου διαπαντὸς ἀντε-
λάβετό μου.
Ὅτι περιέσχον με κακὰ ὧν
οὐκ ἔστιν ἀριθμός. κατέλα-
βόν με αἱ ἀνομίαι μου, καὶ
οὐκ ἠδυνήθην τοῦ βλέπειν.
Ἐπληθύνθησαν ὑπὲρ τὰς
τρίχας τῆς κεφαλῆς μου. καὶ
ἡ καρδία μου ἐγκατέλιπέ με.
Εὐδόκησον κύριε τοῦ ῥύσα-
σθαί με. κύριε εἰς τὸ βοηθῆσαί
μοι σπεῦσον.
Καταισχυνθείησαν καὶ ἐντρα-
πείησαν ἅμα οἱ ζητοῦντες
τὴν ψυχήν μου τοῦ ἐξᾶραι
αὐτήν.
Ἀποστραφείησαν εἰς τὰ ὀπί-
σω, καὶ καταισχυνθείησαν.
οἱ θέλοντές μοι κακά.
Κομισάσθωσαν παραχρῆ-
μα αἰσχύνην αὐτῶν. οἱ λέ-
γοντές μοι εὖγε εὖγε.
Ἀγαλλιάσθωσαν καὶ εὐφραν-
θήτωσαν ἐπὶ σοί. πάντες
οἱ ζητοῦντές σε κύριε.
Καὶ εἰπάτωσαν διαπαντὸς
μεγαλυνθήτω ὁ κύριος. οἱ
ἀγαπῶντες τὸ σωτήριον

me, misericordia tui & veri-
tas tui semper suscepit
me.
Quoniā circundederunt me mala
quorum non est numerus. cōpræhen
derunt me iniquitates mei. &
non potui uidere.
Multiplicatæ sunt super
capillos capitis mei. &
cor mei dereliquit me
Complaceas domine libera
re me: domine ad auxiliandum
mihi festina.
Confundantur. & reuerean-
tur simul quærentes
animam mei eripe
re eam.
Auertantur in re
tro. & erubescant.
uolentes mihi mala.
Ferant confe
stim confusionem eorum. dicen
tes mihi euge euge.
Exultent. & læten-
tur in te. omnes
quærentes te domine.
Et dicant semper
magnificetur dominus.
diligentes salutare

σοῦ.
ἐγὼ δὲ πτωχός εἰμι, καὶ πέ-
νης. κύριος φροντιεῖ μου.
Βοηθός μου καὶ ὑπερασπιστής
μου εἶ σὺ ὁ θεός μου. μὴ χρο-
νίσῃς.

δό. εἰς τὸ τέλος ψαλ-
μὸς τῷ δαυίδ. .μ.

μ ακάριος ὁ συνιῶν
ἐπὶ πτωχὸν καὶ πένη-
τα. ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται
αὐτὸν ὁ κύριος.
Κύριος διαφυλάξαι αὐτὸν καὶ
ζῆσαι αὐτόν. καὶ μακαρίσαι
αὐτὸν ἐν τῇ γῇ. καὶ μὴ παρα-
δῴη αὐτὸν εἰς χεῖρας ἐχθρῶν
αὐτοῦ.
Κύριος βοηθήσαι αὐτῷ ἐπὶ
κλίνης ὀδύνης αὐτοῦ. ὅλην
τὴν κοίτην αὐτοῦ ἔστρεψας
ἐν τῇ ἀρρωστίᾳ αὐτοῦ.
ἐγὼ εἶπα κύριε ἐλέησόν με. ἴα-
σαι τὴν ψυχήν μου ὅτι ἥ-
μαρτόν σοι.
Οἱ ἐχθροί μου εἶπον κακά μοι.
πότε ἀποθανεῖται καὶ ἀπο-
λεῖται τὸ ὄνομα αὐτοῦ.

tui.
Ego autem mendicus sum & pau-
per. dominus curabit me.
Adiutor mei & protector
mei es tu. deus mei ne tarda
ueris.

Gloria. In finem psal-
mus Dauid. .xl.

b eatus intelligens
super egenum & pau-
perem. in die mala liberabit
eum dominus.
Dominus conseruet eum. &
uiuificet eum & beatificet
eum in terra. & non tra-
dat eum in manus inimicorum
eius.
Dominus auxilietur ei in
lecto doloris eius. uniuersum
cubile eius uersasti
in infirmitate eius.
Ego dixi domine miserare me. sa-
na animam mei. quoniam pec-
caui tibi.
Inimici mei dixerunt mala mihi.
quando morietur. & peri-
bit nomen eius.

Καὶ εἰσεπορεύετο τοῦ ἰδεῖν
μάτην ἐλάλει. ἡ καρδία αὐ-
τοῦ συνήγαγεν ἀνομίαν ἑαυ-
τῷ.
Ἐξεπορεύετο ἔξω καὶ ἐλάλει.
ἐπὶ τὸ αὐτό.
Κατ᾽ ἐμοῦ ἐψιθύριζον πάντες
οἱ ἐχθροί μου. κατ᾽ ἐμοῦ ἐλογί-
ζοντο κακά μοι.
Λόγον παράνομον κατέθεντο
κατ᾽ ἐμοῦ. μὴ ὁ κοιμώμενος
οὐχὶ προσθήσει τοῦ ἀναστῆναι.
Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρή-
νης μου ἐφ᾽ ὃν ἤλπισα ὁ ἐσθί-
ων ἄρτους μου ἐμεγάλυνεν
ἐπ᾽ ἐμὲ πτερνισμόν.
Σὺ δὲ κύριε ἐλέησόν με καὶ ἀ-
νάστησόν με. καὶ ἀνταποδώ-
σω αὐτοῖς.
Ἐν τούτῳ ἔγνων ὅτι ἠθέλησάς
με. ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχ-
θρός μου ἐπ᾽ ἐμέ.
Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀν-
τελάβου. καὶ ἐβεβαίωσάς με
ἐνώπιόν σου εἰς τὸν αἰῶνα.
Εὐλογητὸς κύριος ὁ θεὸς ἰσρα-
ήλ ἀπὸ τοῦ αἰῶνος καὶ εἰς
τὸν αἰῶνα, γένοιτο, γένοιτο.

Et ingrediebatur uidere
frustra loquebatur . cor e-
ius congregabat iniquitatem si-
bi.
Egrediebatur foras. & loquebatur
in idipsum
Aduersum me susurrabant omnes
inimici mei. aduersum me cogita
bant mala mihi.
Verbum iniquum constituerunt
contra me. nunquid dormiens
non apponet resurgere.
Et enim homo pa
cis mei in quo speraui. come
dens panes mei magnificauit
contra me supplantationem.
Tu autem domine miserare me &
suscita me. & retri
buam eis.
In hoc cognoui quoniam uoluisti
me. quoniam non gaudebit inimi
cus mei super me.
Mei autem propter innocentiã su
scepisti me. & confirmasti me
coram tui in sæculum.
Benedictus dominus deus isra-
el a sæculo & in
sæculum fiat fiat.

εἰς τέλος εἰς σύνεσιν τοῖς
υἱοῖς κορὲ ψαλμός. .μα.

Ὃν τρόπον ἐπιποθεῖ
ἡ ἔλαφος ἐπὶ τὰς
πηγὰς τῶν ὑδάτων,
οὕτως ἐπιποθεῖ ἡ ψυχή μου
πρὸς σε ὁ θεός.
ἐδίψησεν ἡ ψυχή μου πρὸς
τὸν θεὸν τὸν ἰσχυρὸν τὸν ζῶν
τα. πότε ἥξω καὶ ὀφθήσομαι
τῷ προσώπῳ τοῦ θεοῦ.
ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ
ἄρτος ἡμέρας καὶ νυκτός. ἐν
τῷ λέγεσθαί μοι καθ᾽ ἑκάστην ἡ-
μέραν ποῦ ἐστὶν ὁ θεός σου;
ταῦτα ἐμνήσθην καὶ ἐξέχεα ἐ-
π᾽ ἐμὲ τὴν ψυχήν μου. ὅτι διε-
λεύσομαι ἐν τόπῳ σκηνῆς
θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ
θεοῦ.
ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξο-
μολογήσεως ἤχου ἑορτάζον-
τος.
ἱνατί περίλυπος εἶ ἡ ψυχή μου,
καὶ ἱνατί συνταράσσεις με;
ἔλπισον ἐπὶ τὸν θεὸν ὅτι ἐξο-
μολογήσομαι αὐτῷ. σωτήριον
τοῦ προσώπου μου καὶ ὁ θεός

In finem in intellectum
filiis Core psalmus : .xli.

Quo modo desyderat
cerua ad
fontes aquarum.
sic desyderat anima mei
ad te deus.
Sitiuit anima mei ad
deum fortem uiuen-
tem. quando ueniam & uidebor
faciei dei.
Fuerunt lacrimæ mei mihi
panis die & nocte in
dici mihi per singulum di-
em. ubi est deus tui?
Hæc recordatus sum. & effudi
in me animam mei. quoniam trãsi
bo in loco tabernaculi
admirabilis usque domus
dei
In uoce exultationis & confessi-
onis soni epulan
tis.
Quare tristis es anima mei.
& quare conturbas me?
Spera in deum quoniam confite
bor ei. salutare
uultus mei. & deus

μου.
Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐτα-
ράχθη. διὰ τοῦτο μνησθήσομαί
σου ἐκ γῆς ἰορδάνου. καὶ ἑρμο-
νιεὶμ ἀπὸ ὄρους μικροῦ.
Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται.
εἰς φωνὴν τῶν καταρακτῶν
σου.
Πάντες οἱ μετεωρισμοί σου
καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆ-
λθον.
Ἡμέρας ἐντελεῖται κύριος τὸ ἔ-
λεος αὐτοῦ. καὶ νυκτὸς ᾠδὴ
αὐτοῦ παρ' ἐμοί.
Προσευχὴ τῷ θεῷ τῆς ζωῆς μου
ἐρῶ τῷ θεῷ ἀντιλήπτωρ μου
εἶ. διατί μου ἐπελάθου. καὶ ἱ-
νατί σκυθρωπάζων πορεύομαι
ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν.
ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ
μου ὠνείδιζόν με οἱ ἐχθροί
μου.
ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑ-
κάστην ἡμέραν ποῦ ἐστιν ὁ θε-
ός σου. ἱνατί περίλυπος εἶ ἡ ψυ-
χή μου καὶ ἱνατί συνταράσ-
σεις με.
ἔλπισον ἐπὶ τὸν θεὸν ὅτι ἐξο-
μολογήσομαι αὐτῷ. σωτήριον

mei.
Ad me ipſum anima mei tur-
bata eſt propterea recordabor
tui ex terra iordanis & hermo-
niim a montis parui. — modico. · minimo.
Abyſſus abyſſum inuocat.
in uocem cataractarum
tui.
Omnia excelſa tui.
& fluctus tui ſuper me tran-
ſierunt.
Die mandabit dominus miſericor
diam eius. & nocte canticum
eius apud me.
Oratio deo uitæ mei.
dicam deo ſuſceptor mei
es. quare mei oblitus es. & qua-
re contriſtans uado
in elidere inimicum.
In contundi oſſa
mei exprobrabant me inimici
mei.
In dicere eos mihi per ſingu-
lum diem ubi eſt deus
tui. quare triſtis es ani-
ma mei. & quare contur-
bas me.
Spera in deum quoniam confi
tebor ei. ſalutare

τοῦ προσώπου μου καὶ ὁ θεός
μου.

Ψαλμὸς τῷ Δαυὶδ ἀνε-
πίγραφος παρ᾽ ἑβραίοις. .μβ.

κ ρῖνόν μοι ὁ θεὸς
καὶ δίκασον τὴν δίκην
μου ἐξ ἔθνους οὐχ
ὁσίου. ἀπὸ ἀνθρώπου ἀδίκου
καὶ δολίου ῥῦσαί με.
Ὅτι σὺ εἶ ὁ θεὸς κραταίωμά
μου. ἱνατί ἀπώσω με, καὶ ἱ-
νατί σκυθρωπάζων πορεύο-
μαι. ἐν τῷ ἐκθλίβειν τὸν ἐχ-
θρόν.
Ἐξαπόστειλον τὸ φῶς σου καὶ
τὴν ἀλήθειάν σου. αὐτά με ὡ-
δήγησαν καὶ ἤγαγον εἰς ὄρος
ἅγιόν σου καὶ εἰς τὰ σκηνώμα-
τά σου.
Καὶ εἰσελεύσομαι πρὸς τὸ θυ-
σιαστήριον τοῦ θεοῦ. πρὸς τὸν
θεὸν τὸν εὐφραίνοντα τὴν
νεότητά μου.
Ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ
ὁ θεὸς ὁ θεός μου. ἱνατί πε-
ρίλυπος εἶ ἡ ψυχή μου. καὶ
ἱνατί συνταράσσεις με;

uultus mei. & deus
mei.

Psalmus Dauid sine
titulo apud hebræos. .xlii.

i udica mihi deus
& iudica causam
mei ex gente non
sancta. ab homine iniusto
& doloso libera me.
Quoniam tu es deus fortitudo
mei. quare reppulisti me. & qua
re contristans e-
o. in elidere inimi
cum.
Emitte lucem tui. &
ueritatem tui. ipsa me dedu
xerunt. & duxerunt in montem
sanctum tui. & in taberna-
cula tui.
Et introibo ad alta-
re dei. ad
deum lætificantem
iuuentutem mei.
Confitebor tibi in cithara
deus deus mei. quare tri-
stis es anima mei. &
quare conturbas me?

ἔλπισον ἐπὶ τὸν θεὸν ὅτι ἐξο-	Spera in deum quoniam confite-
μολογήσομαι αὐτῷ. σωτήριον	bor ei. salutare
τοῦ προσώπου μου καὶ ὁ θεός	uultus mei. & deus
μου.	mei.
Δό. εἰς τέλος τοῖς υἱ-	Gloria. In finem fi-
οῖς Κορὲ εἰς σύνεσιν. .μγ.	liis Core in intellectum. xliii.
Ὁ θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκού-	Deus in auribus nostrum audi-
σαμεν. οἱ πατέρες ἡμῶν ἀνήγγει-	uimus. patres nostrum annuntia-
λαν ἡμῖν.	uerunt nobis.
ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέ-	Opus quod operatus es in die-
ραις αὐτῶν ἐν ἡμέραις ἀρχαί-	bus eorum. in diebus anti-
αις.	quis.
Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσε.	Manus tui gentes disperdidit
καὶ κατεφύτευσας αὐτούς	& plantasti eos.
ἐκάκωσας λαοὺς καὶ ἐξέβα-	Afflixisti populos. & eie-
λες αὐτούς.	cisti eos.
Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐ-	Non enim in gladio eorum hæredi-
κληρονόμησαν γῆν. καὶ ὁ βρα-	tauerunt terram. & bra-
χίων αὐτῶν οὐκ ἔσωσεν αὐ-	chium eorum non saluauit e-
τούς.	os.
Ἀλλ᾽ ἡ δεξιά σου καὶ ὁ βραχίων	Sed dextera tui. & brachium
σου καὶ ὁ φωτισμὸς τοῦ προσώ-	tui. & illuminatio uul-
που σου. ὅτι εὐδόκησας ἐν αὐ-	tus tui. quoniam complacuisti te-
τοῖς.	is.
Σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου	Tu es ipse rex mei
καὶ ὁ θεός μου. ὁ ἐντελλόμε-	& deus mei. man-

μος τὰς σωτηρίας ἰακώβ.
Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν. καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν.
Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ. καὶ ἡ ῥομφαία μου οὐ σώσει με.
Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς. καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας.
Ἐν τῷ θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν. καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα.
Νῦν δὲ ἀπώσω καὶ κατῄσχυνας ἡμᾶς. καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν.
Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν. καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς.
Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως. καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς.
Ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς. καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν ἡμῶν.

dans salutes iacob.
In te inimicos nostrum uentilabimus. & in nomine tui despiciemus insurgentes nobis.
Non enim in arcu mei sperabo. & gladius mei non saluabit me.
Saluasti enim nos ex affligentium nos. & odientes nos confudisti.
In deo laudabimur totam diem. & in nomine tuo confitebimur in sæculum.
Nunc autem repulisti & confudisti nos. & non egredieris deus in uirtutibus nostrum.
Conuertisti nos in retro secus inimicos nostrum. & odientes nos diripiebant sibi.
Dedisti nos sicut oues escæ. & in gentibus dispersisti nos.
Vendidisti populum tui sine precio. & non erat multitudo in commutationibus nostrum.

ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτο-
σιν ἡμῶν. μυκτηρισμὸν καὶ
χλευασμὸν τοῖς κύκλῳ ἡμῶν.
ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν
τοῖς ἔθνεσι. κίνησιν κεφαλῆς
ἐν τοῖς λαοῖς.
Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή
μου κατεναντίον μου ἐστὶ. καὶ
ἡ αἰσχύνη τοῦ προσώπου μου
ἐκάλυψέ με.
Ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ
καταλαλοῦντος. ἀπὸ προσώ-
που ἐχθροῦ καὶ ἐκδιώκοντος.
Ταῦτα πάντα ἦλθον ἐφ' ἡμᾶς
καὶ οὐκ ἐπελαθόμεθά σου. καὶ
οὐκ ἠδικήσαμεν ἐν τῇ διαθήκῃ
σου.
Καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ
καρδία ἡμῶν. καὶ ἐξέκλινας
τὰς τρίβους ἡμῶν ἀπὸ τῆς
ὁδοῦ σου.
Ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τό-
πῳ κακώσεως. καὶ ἐπεκάλυ-
ψεν ἡμᾶς σκιὰ θανάτου.
Εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος
τοῦ θεοῦ ἡμῶν. καὶ εἰ διεπε-
τάσαμεν χεῖρας ἡμῶν πρὸς
θεὸν ἀλλότριον.
Οὐχὶ ὁ θεὸς ἐκζητήσει ταῦτα.

Posuisti nos obprobrium uici-
nis nostrum. subsannationem &
derisum circuitu nostrum.
Posuisti nos in similitudinem in
gentibus. motum capitis
in populis.
Totam diem uerecundia
mei contra me est. &
uerecundia faciei mei
cooperuit me.
A uoce exprobrantis. &
obloquentis. a facie inimi-
ci & persequentis.
Hæc omnia uenerunt super nos
& non obliti sumus tui. &
non iniuste egimus in testamento
tui.
Et non abstitit in retro
cor nostrum. & declinasti
semitas nostrum a
uia tui.
Quoniam humiliasti nos in lo-
co afflictionis. & coope-
ruit nos umbra mortis.
Si obliti sumus nominis
dei nostrum. & si expandi-
mus manus nostrum ad
deum alienum.
Non ne deus requiret ista.

αὐτὸς γὰρ γινώσκει τὰ κρύφια
τῆς καρδίας.
Ὅτι ἕνεκά σου θανατούμεθα ὅ-
λην τὴν ἡμέραν. ἐλογίσθημεν
ὡς πρόβατα σφαγῆς.
Ἐξεγέρθητι, ἵνατί ὑπνοῖς κύριε.
ἀνάστηθι καὶ μὴ ἀπώσῃ εἰς
τέλος.
Ἵνατί τὸ πρόσωπόν σου ἀπο-
στρέφεις. ἐπιλανθάνῃ τῆς
πτωχείας ἡμῶν, καὶ τῆς θλί-
ψεως ἡμῶν.
Ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ
ψυχὴ ἡμῶν. ἐκολλήθη εἰς γῆν
ἡ γαστὴρ ἡμῶν.
Ἀνάστα κύριε βοήθησον ἡμῖν.
καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν
τοῦ ὀνόματός σου.

Εἰς τέλος ὑπὲρ τῶν
ἀλλοιωθησομένων τοῖς
υἱοῖς Κορὲ εἰς σύνεσιν τοῦ ἀγα-
πητοῦ. μδ.

ἐ ξηρεύξατο ἡ καρδία
μου λόγον ἀγαθόν. λέ-
γω ἐγὼ τὰ ἔργα μου τῷ
βασιλεῖ.
Ἡ γλῶσσά μου κάλαμος γραμ-

ipse enim nouit abscondita
cordis.
Quoniã gratia tui mortificamur to
tam diem. reputati sumus
sicut oues occisionis.
Exurge quare obdormis do-
mine. exurge ne repellas in
finem.
Quare faciem tui auer-
tis: obliuisceris
inopie nostrum. & tribu
lationis nostrum.
Quoniam humiliata est ĩ puluerẽ
anima nostrum. adhæsit in terrã
uenter nostrum.
Exurge domine auxiliare nobis.
& libera nos gratia
nominis tui.

In finem pro
commutandis
filiis Core in intellectum di
lecti. xliiii.

e ructauit cor
mei uerbum bonum. di-
co ego opera mei
regi.
Lingua mei calamus. scri-

ματέως ὀξυγράφου.
Ὡραῖος κάλλει παρὰ τοὺς υἱ-
οὺς τῶν ἀνθρώπων. ἐξεχύ-
θη χάρις ἐν χείλεσί σου. δι-
ὰ τοῦτο εὐλόγησέ σε ὁ θεὸς εἰς
τὸν αἰῶνα.
Περίζωσαι τὴν ῥομφαίαν σου
ἐπὶ τὸν μηρόν σου δυνατέ.
Τῇ ὡραιότητί σου καὶ τῷ
κάλλει σου. καὶ ἔντεινον καὶ
κατευοδοῦ καὶ βασίλευε.
Ἕνεκεν ἀληθείας καὶ πραότη-
τος καὶ δικαιοσύνης. καὶ ὁ-
δηγήσει σε θαυμαστῶς ἡ δε-
ξιά σου.
Τὰ βέλη σου ἠκονημένα δυνα-
τέ. λαοὶ ὑποκάτω σου πεσο-
ῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν
τοῦ βασιλέως.
Ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰ-
ῶνα τοῦ αἰῶνος. ῥάβδος εὐ-
θύτητος ἡ ῥάβδος τῆς βασι-
λείας σου.
Ἠγάπησας δικαιοσύνην καὶ
ἐμίσησας ἀνομίαν. διὰ τοῦτο
ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου. ἔ-
λαιον ἀγαλλιάσεως παρὰ
τοὺς μετόχους σου.
Σμύρνα καὶ στακτὴ καὶ κασία

bæ uelociter scribentis.
Speciosus forma præ fi-
liis hominum. effu-
sa est gratia in labiis tui. propte
rea benedixit te deus in
æternum.
Accingere gladium tui
super femur tui potens.
Specie tui. &
pulchritudine tui. & intende &
prosperare & regna.
Gratia ueritatis. & mansuetu-
dinis & iusticiæ. & de-
ducet te mirabiliter dexte-
ra tui.
Sagittæ tui acutæ po
tens. populi sub te ca-
dent in corde inimicorum
regis.
Sedes tui deus in sæcu-
lum sæculi. uirga dire-
ctionis uirga re-
gni tui.
Dilexisti iusticiam. &
odisti iniquitatem. propterea
unxit te deus deus tuo.
leum exultationis præ
participibus tui.
Myrra & gutta & casia

ἀπὸ τῶν ἱματίων σου, ἀπὸ
βάρεων ἐλεφαντίνων, ἐξ ὧν
εὔφρανάν σε θυγατέρες βασι
λέων ἐν τῇ τιμῇ σου.
Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν
σου ἐν ἱματισμῷ διαχρύσῳ
περιβεβλημένη πεποικιλμέ-
νη.
Ἄκουσον θύγατερ καὶ ἴδε, καὶ
κλῖνον τὸ οὖς σου. καὶ ἐπιλά
θου τοῦ λαοῦ σου, καὶ τοῦ οἴ
κου τοῦ πατρός σου.
Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς
τοῦ κάλλους σου. ὅτι αὐτός
ἐστὶ κύριος θεός σου καὶ προσκυ
νήσεις αὐτῷ.
Καὶ θυγατέρες τύρου ἐν δώ-
ροις. τὸ πρόσωπόν σου λιτα
νεύσουσιν οἱ πλούσιοι τοῦ λα
οῦ.
Πᾶσα ἡ δόξα τῆς θυγατρὸς
τοῦ βασιλέως ἔσωθεν. ἐν
κροσσωτοῖς χρυσοῖς περιβε
βλημένη πεποικιλμένη.
Ἀπενεχθήσονται τῷ βασιλεῖ
παρθένοι ὀπίσω αὐτῆς. αἱ
πλησίον αὐτῆς ἀπενεχθήσον
ταί σοι.
Ἀπενεχθήσονται ἐν εὐφροσύ-

a uestimentis tuis a
domibus eburneis. ex quorum
lætificauerunt te filiæ re
gum in honore tui.
Astitit regina ex dextris
tui in uestimento deaurato
circumamicta uaria
ta.
Audi filia & uide. &
inclina aurem tui. & obliuisce
re populi tui. & do
mus patris tui.
Et concupiscet rex
decoris tui. quoniam ipse
est dominus deus tui. & ado
rabis eo.
Et filiæ tyri in mu
neribus. uultum tui depreca
buntur omnes diuites ple-
bis.
Omnis gloria filiæ
regis abintus. in
fimbriis aureis circumami-
cta uariata.
Adducentur regi
uirgines post eam. pro
ximæ eius afferen-
tur tibi.
Afferentur in læti

μὴ καὶ ἀγαλλιάσει. ἀχθήσον-
ται εἰς ναὸν βασιλέως.
Ἀντὶ τῶν πατρῶν σου ἐγενή-
θησαν υἱοί σου. καταστήσεις
αὐτοὺς ἄρχοντας ἐπὶ πᾶ-
σαν τὴν γῆν.
Μνησθήσονται τοῦ ὀνόματός
σου. ἐν πάσῃ γενεᾷ καὶ γε-
νεᾷ.
Διατοῦτο λαοὶ ἐξομολογήσον-
ταί σοι εἰς τὸν αἰῶνα. καὶ
εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

cia & exultatione. adducen-
tur in templum regis.
Pro patribus tui nati
sunt filii tui. constitues
eos principes super o-
mnem terram.
Recordabuntur nominis
tui. in omni generatione & gene
ratione.
Propterea populi confitebun
tur tibi in æternum &
in sæculum sæculi.

Εἰς τέλος ὑπὲρ τῶν υἱῶν Κο-
ρὲ ὑπὲρ τῶν κρυφίων ψαλ-
μός. .με

In finem pro filiis Co-
re pro occultis psal-
mus. xlv.

Ὁ θεὸς ἡμῶν κατα-
φυγὴ καὶ δύναμις.
βοηθὸς ἐν θλίψεσι
ταῖς εὑρούσαις ἡμᾶς σφό-
δρα.
Διατοῦτο οὐ φοβηθησόμεθα
ἐν τῷ ταράσσεσθαι τὴν γῆν.
καὶ μετατίθεσθαι ὄρη ἐν καρ-
δίαις θαλασσῶν.
Ἤχησαν καὶ ἐταράχθησαν τὰ
ὕδατα αὐτῶν. ἐταράχθησαν
τὰ ὄρη ἐν τῇ κραταιότητι

Deus nostrum refu-
gium & uirtus.
adiutor in tribulationibus
inuenientibus nos ni-
mis.
Propterea non timebimus
in turbari terram.
& transponi montes in cor
dibus marium.
Sonuerunt: & turbatæ sunt
aquæ eorum. turbati sunt
montes in fortitudine

αὐτοῦ.
Τοῦ ποταμοῦ τὰ ὁρμήματα
εὐφραίνουσι τὴν πόλιν τοῦ
θεοῦ. ἡγίασε τὸ σκήνωμα
αὐτοῦ ὁ ὕψιστος.
Ὁ θεὸς ἐν μέσῳ αὐτῆς καὶ οὐ-
σαλευθήσεται. βοηθήσει αὐ-
τῇ ὁ θεὸς τὸ πρὸς πρωῒ
πρωΐ.
Ἐταράχθησαν ἔθνη, ἔκλιναν
βασιλεῖαι. ἔδωκε φωνὴν αὐ-
τοῦ ὁ ὕψιστος, ἐσαλεύθη ἡ
γῆ.
Κύριος τῶν δυνάμεων με-
θ' ἡμῶν. ἀντιλήπτωρ ἡμῶν ὁ
θεὸς Ἰακώβ.
Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ
κυρίου, ἃ ἔθετο τέρατα ἐπὶ
τῆς γῆς. ἀνταναιρῶν πολέ-
μους μέχρι τῶν περάτων
τῆς γῆς.
Τόξον συντρίψει καὶ συνθλά-
σει ὅπλον. καὶ θυρεοὺς κατα-
καύσει ἐν πυρί.
Σχολάσατε καὶ γνῶτε ὅτι ἐ-
γώ εἰμι ὁ θεός. ὑψωθήσομαι
ἐν τοῖς ἔθνεσιν. ὑψωθήσο-
μαι ἐν τῇ γῇ.
Κύριος τῶν δυνάμεων με-

eius.
Fluminis impetus
lætificant ciuitatem
dei. sanctificauit tabernaculum
eius altissimus.
Deus in medio eius. & non
commouebitur. adiuuabit e-
am deus ad mane
mane.
Turbatæ sunt gentes. inclinauerũt
regna dedit uocem e-
ius altissimus mota est
terra.
Dominus uirtutum cum
nobis. susceptor nostrum
deus Iacob.
Venite & uidete opera
domini: quæ posuit prodigia sup
terram. auferens bel-
la usq; finium
terræ.
Arcum conteret & confrin-
get arma. & scuta com-
buret in igni.
Vacate & scitote quoniam e-
go sum deus. exaltabor
bor in gentibus. exalta-
bor in terra.
Dominus uirtutum cum

θ' ἡμῶν. ἀντιλήπτωρ ἡμῶν ὁ θεὸς ἰακώβ.

Δό. καθ. ζ. εἰς τέλος ὑπὲρ τῶν υἱῶν Κορὲ. μϛ.

Π άντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.
Ὅτι κύριος ὕψιστος φοβερός. βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.
Ὑπέταξε λαοὺς ἡμῖν καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν.
Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ. τὴν καλλονὴν τοῦ ἰακὼβ ἣν ἠγάπησε.
Ἀνέβη ὁ θεὸς ἐν ἀλαλαγμῷ, κύριος ἐν φωνῇ σάλπιγγος.
Ψάλατε τῷ θεῷ ἡμῶν ψάλατε. ψάλατε τῷ βασιλεῖ ἡμῶν ψάλατε.
Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ θεός. ψάλατε συνετῶς.
Ἐβασίλευσεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη. ὁ θεὸς κάθηται ἐπὶ θρόνον ἁγίου αὐτοῦ,
Ἄρχοντες λαῶν συνήχθησαν

nobis. susceptor nostrum deus Iacob.

Gloria. sessio. vi. in finē pro filiis Core. xlvi.

O mnes gentes plaudite manus. iubilate deo in uoce exultationis.
Quoniā dominus altissimus terribilis rex magnus super omnem terram.
Subiecit populos nobis. & gentes sub pedes nostrum.
Elegit nobis hæreditatem sui. speciem iacob quam dilexit.
Ascendit deus in iubilatione dominus in uoce tubæ
Psallite deo nostrum psallite. psallite regi nostrum psallite.
Quoniam rex omnis terræ deus. psallite sapienter.
Regnauit dominus super gentes deus sedet super sedem sanctam eius.
Principes populorum cōgregati sunt

μετὰ τοῦ θεοῦ ἀβραάμ. ὅτι
τοῦ θεοῦ οἱ κραταιοὶ τῆς γῆς
σφόδρα ἐπήρθησαν.

Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς
Κορέ. . μζ.

μ έγας ὁ κύριος καὶ
αἰνετὸς σφόδρα. ἐν
πόλει τοῦ θεοῦ ἡμῶν ἐν ὄρει
ἁγίῳ αὐτοῦ.
Εὐρίζῳ ἀγαλλιάματι πάσης
τῆς γῆς. ὄρη σιὼν τὰ πλευρὰ
τοῦ βορρᾶ ἡ πόλις τοῦ βασιλέ
ως τοῦ μεγάλου.
Ὁ θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς
γινώσκεται. ὅτι ἀντιλαμβά-
νηται αὐτῆς.
Ὅτι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς
συνήχθησαν. διῆλθοσαν ἐπὶ
τὸ αὐτό.
Αὐτοὶ ἰδόντες οὕτως ἐθαύμα-
σαν. ἐταράχθησαν ἐσαλεύθη-
σαν, τρόμος ἐπελάβετο αὐ
τῶν.
Ἐκεῖ ὠδῖνες ὡς τικτούσης. ἐν
πνεύματι βιαίῳ συντρίψεις
πλοῖα θαρσίς.
Καθάπερ ἠκούσαμεν οὕτω

eum deo Habraham. quoniam
dei fortes terræ
uehementer eleuati sunt.

Pſalmus cantici filiis
Core. xlvii.

m agnus dominus &
laudabilis nimis. in
ciuitate dei noſtrum in monte
ſancto eius.
Radicato exultatione omnis
terræ. montes Sion latera
aquilonis ciuitas re-
gis magni.
Deus in domibus eius
cognoſcitur. quoniam ſuſcipi-
et eam.
Quoniam ecce reges terræ
congregati ſunt. tranſierunt in u
num.
Ipſi uidentes ſic admirati
ſunt. turbati ſunt. commo
ti ſunt. tremor appræhendit e-
orum.
Ibi dolores ut parientis. in
ſpiritu uehementi conteres
naues tharſis.
Sicut audiuimus ſic

καὶ ἴδομεν. ἐν πόλει κυρίου
τῶν δυνάμεων. ἐν πόλει τοῦ
θεοῦ ἡμῶν. ὁ θεὸς ἐθεμελίωσε
αὐτὴν εἰς τὸν αἰῶνα.
Ὑπελάβομεν ὁ θεὸς τὸ ἔλεός
σου ἐν μέσω τοῦ ναοῦ σου.
Κατὰ τὸ ὄνομά σου ὁ θεὸς. οὕ-
τως καὶ ἡ αἴνεσίς σου ἐπὶ
τὰ πέρατα τῆς γῆς. δικαιοσύ-
νης πλήρης ἡ δεξιά σου.
εὐφρανθήτω ὄρος σιὼν, καὶ ἀ-
γαλλιάσθωσαν αἱ θυγατέρες
τῆς ἰουδαίας. ἕνεκεν τῶν κρι-
μάτων σου κύριε.
Κυκλώσατε σιὼν, καὶ περιλάβε-
τε αὐτήν. διηγήσασθε ἐν τοῖς
πύργοις αὐτῆς.
θέσθε τὰς καρδίας ὑμῶν εἰς
τὴν δύναμιν αὐτῆς. καὶ κατα-
διέλεσθε τὰς βάρεις αὐτῆς.
ὅπως ἂν διηγήσησθε εἰς γενε-
ὰν ἑτέραν.
Ὅτι οὗτος ἐστὶν ὁ θεὸς ἡμῶν εἰς
τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶ-
να τοῦ αἰῶνος. αὐτὸς ποιμα-
νεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.

εἰς τέλος τοῖς υἱοῖς
Κορέ. .μη.

& uidimus. in ciuitate domini
uirtutum. in ciuitate
dei nostrum. deus fundauit
eam in sæculum.
Suscepimus deus misericordiam
tui in medio templi tui.
Secundum nomen tui deus. i-
ta & laudatio tui in
fines terræ. iusti-
ciæ plena dextera tui.
Lætentur mons Sion & exul-
tent filiæ
iudææ gratia iu-
diciorum tui domine.
Circundate Sion. & complecti-
mini eam. narrate in
turribus eius.
Ponite corda uestrum in
uirtutem eius. & distri-
buite domos eius
ut enarretis in proge-
niem alteram.
Quoniam hic est deus nostrum ī
sæculum. & in sæcu-
lum sæculi. ipse re-
get nos in sæcula.

In finem filiis
Core. xlvii.

α   κούσατε ταῦτα
πάντα τὰ ἔθνη.
ἐνωτίσασθε πάντες
οἱ κατοικοῦντες τὴν οἰκουμέ-
νην.
Οἵ τε γηγενεῖς καὶ υἱοὶ τῶν ἀν-
θρώπων ἐπιτοαυτὸ πλούσιος
καὶ πένης.
Τὸ στόμα μου λαλήσει σοφίαν
καὶ ἡ μελέτη τῆς καρδίας
μου σύνεσιν.
Κλινῶ εἰς παραβολὴν τὸ οὖς
μου. ἀνοίξω ἐν ψαλτηρίῳ τὸ
πρόβλημά μου.
Ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ
πονηρᾷ. ἡ ἀνομία τῆς πτέρ-
νης μου κυκλώσει με.
Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει
αὐτῶν. καὶ ἐπὶ τῷ πλήθει
τοῦ πλούτου αὐτῶν καυχώ-
μενοι.
Ἀδελφὸς οὐ λυτροῦται λυτρώ-
σεται ἄνθρωπος. οὐ δώσει
τῷ θεῷ ἐξίλασμα αὐτοῦ.
Καὶ τὴν τιμὴν τῆς λυτρώσε-
ως τῆς ψυχῆς αὐτοῦ.
Καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα
Καὶ ζήσεται εἰς τέλος. οὐκ ὄ-
ψεται καταφθορὰν ὅταν ἴδῃ

a   udite hæc
omnes gentes
percipite omnes
habitantes or-
bem.
Et terrigenæ & filii homi-
num simul diues
& pauper.
Os meum loquetur sapientiam.
& meditatio cordis
mei prudentiam.
Inclinabo in similitudinem aurem
mei. aperiam in psalterio
propositionem mei.
Cur timebo in die
mala. iniquitas calca-
nei mei circundabit me.
Confisi in uirtute
eorum. & in multitudine
diuitiarum eorum glorian-
tes.
Frater non redimit. re-
dimet homo. non dabit
deo placationem eius.
Et precium redemptio-
nis animæ eius.
Et laborauit in æternum
& uiuet in finem. non uide
bit interitum quando uiderit

σοφοὺς ἀποθνήσκοντας ἐ-
πιτοαυτὸ, ἄφρον καὶ ἄνους
ἀπολοῦνται.
Καὶ καταλείψουσιν ἀλλοτρί-
οις τὸν πλοῦτον αὐτῶν. καὶ
οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν
εἰς τὸν αἰῶνα.
Σκηνώματα αὐτῶν εἰς γενεὰν
καὶ γενεάν. ἐπεκαλέσαντο
τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν
γαιῶν.
Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ
συνῆκε, παρασυνεβλήθη
τοῖς κτήνεσι τοῖς ἀνοήτοις
καὶ ὡμοιώθη αὐτοῖς.
Αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδα-
λον αὐτοῖς. καὶ μετὰ ταῦτα
ἐν τῷ στόματι αὐτῶν εὐδοκή-
σουσι.
Ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο.
θάνατος ποιμανεῖ αὐτούς.
καὶ κατακυριεύσουσιν αὐτῶν
οἱ εὐθεῖς τοπρωί.
Καὶ ἡ βοήθεια αὐτῶν παλαιω-
θήσεται ἐν ᾅδῃ, ἐκ τῆς δόξης
αὐτῶν ἐξώσθησαν.
Πλὴν ὁ θεὸς λυτρώσεται τὴν
ψυχήν μου ἐκ χειρὸς ᾅδου. ὅ-
ταν λαμβάνῃ με.

ſapientes morientes ſi-
mul: inſipiens & ſtultus
peribunt.
Et relinquent alie
nis diuitias eorum. &
ſepulchra eorum domus eorum
in æternum.
Tabernacula eorum in generationẽ
& generationem inuocauerunt
nomina eorum in
terris.
Et homo in honore cũs non
intellexit. comparatus eſt
iumentis inſipientibus
& aſſimilatus eſt eis.
Hæc uia eorum ſcanda
lum eis. & poſt hæc
in ore eorum complace-
bunt.
Sicut oues in inferno poſiti ſunt
mors depaſcet eos
& dominabuntur eorum
recti mane.
Et auxilium eorum uetere-
ſcet in inferno. ex gloria
eorum expulſi ſunt.
Veruntamen deus redimet
animam meã de manu inferni quã
do acceperit me.

Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄν
θρωπος. ἢ ὅταν πληθυνθῇ ἡ
δόξα τοῦ οἴκου αὐτοῦ.
Ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐ
τὸν λήψεται τὰ πάντα. οὐδὲ
συγκαταβήσεται αὐτῷ ἡ δό-
ξα αὐτοῦ.
Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ
αὐτοῦ εὐλογηθήσεται. ἐξομο-
λογηθήσεταί σοι ὅταν ἀγα-
θύνῃς αὐτῷ.
Εἰσελεύσεται ἕως γενεᾶς πα-
τρῶν αὐτοῦ. ἕως αἰῶνος οὐκ
ὄψεται φῶς.
Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν
οὐ συνῆκε. παρασυνεβλή-
θη τοῖς κτήνεσι τοῖς ἀνοή-
τοις. καὶ ὡμοιώθη αὐτοῖς.

Δό. Ψαλμὸς τῷ ἀσάφ. μθ.

Θεὸς θεῶν κύριος ἐλάλη
σε. ἐκάλεσε τὴν γῆν
Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι
δυσμῶν. ἐκ σιὼν ἡ εὐπρέ-
πεια τῆς ὡραιότητος αὐτοῦ
Ὁ θεὸς ἐμφανῶς ἥξει. ὁ θεὸς
ἡμῶν καὶ οὐ παρασιωπήσε
ται.

Non time cum ditatus fuerit ho-
mo. aut cum multiplicata fuerit
gloria domus eius.
Quoniam non in mori e-
um accipiet omnia. neque
condescendet ei glo-
ria eius.
Quoniam anima eius in uita
eius benedicetur. confitebi-
tur tibi cum benefe-
ceris ei.
Introibit usque generationis pa-
trum eius. usque in seculi non
uidebit lumen.
Et homo in honore ens
non intellexit. comparatus est
iumentis stul-
tis. & assimilatus est eis.

Gloria. Psalmus Asaph. xlviii.

Deus deorum dominus locu
tus est. & uocauit terrã.
Ab ortu solis usque
occasum. ex Sion de-
cor pulchritudinis eius.
Deus manifeste ueniet. deus
nostrum & non sile-
bit.

Πῦρ ἐνώπιον αὐτοῦ καυθήσε-	ignis eo exarde-
ται. καὶ κύκλῳ αὐτοῦ καται-	scet. & circuitu eius tempe-
γὶς σφόδρα.	stas ualida.
Προσεκάλεσε τὸν οὐρανὸν ἄνω	Aduocauit cælum supra.
καὶ τὴν γῆν τοῦ διακρῖναι	& terram discernere
τὸν λαὸν αὐτοῦ.	populum eius.
Συναγάγετε αὐτῷ τοὺς ὁσίους	Congregate ei sanctos
αὐτοῦ τοὺς διατιθεμένους	eius disponentes
τὴν διαθήκην αὐτοῦ ἐπὶ θυ	testamentum eius super sacri-
σίαις.	ficia.
Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ	Et annuntiabunt cæli
τὴν δικαιοσύνην αὐτοῦ ὅτι	iusticiam eius. quoniam
ὁ θεὸς κριτής ἐστιν.	deus iudex est.
Ἄκουσον λαός μου καὶ λαλή	Audi populus mei. & lo-
σω σοι. ἰσραὴλ καὶ διαμαρ	quar tibi. israel & contesta
τύρομαί σοι. ὁ θεὸς ὁ θεός	bor tibi: deus deus
σου εἰμὶ ἐγώ.	tui sum ego.
Οὐκ ἐπὶ καὶ θυσίαις σου ἐλέγ	Non in sacrificiis tui ar-
ξω σε. τὰ δὲ ὁλοκαυτώματά	guam te. sed holocausta
σου ἐνώπιόν μου ἐστὶ διαπαν-	tui coram me sunt sem-
τός.	per.
Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μό	Non accipiam ex domo tui uitu
σχους. οὐδὲ ἐκ τῶν ποιμνί-	los neque ex gregi
ων σου χιμάρους.	bus tui hircos.
Ὅτι ἐμά ἐστι πάντα τὰ θηρία	Quoniam meæ omnes feræ
τοῦ ἀγροῦ. κτήνη ἐν τοῖς ὄρεσι	agri. iumenta in montibus
καὶ βόες.	& boues.
Ἔγνωκα πάντα τὰ πετεινὰ	Cognoui omnia uolatilia
τοῦ οὐρανοῦ. καὶ ὡραιότης	cæli & pulchritudo

τοῦ ἀγροῦ μετ᾽ ἐμοῦ ἐστίν.
ἐὰν πεινάσω οὐ μή σοι εἴπω,
ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ
τὸ πλήρωμα αὐτῆς.
μὴ φάγομαι κρέα ταύρων. ἢ
αἷμα τράγων πίομαι;
θῦσον τῷ θεῷ θυσίαν αἰνέσε-
ως. καὶ ἀπόδος τῷ ὑψίστῳ
τὰς εὐχάς σου.
Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ
θλίψεώς σου. καὶ ἐξελοῦμαί
σε καὶ δοξάσεις με.
Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θε-
ὸς ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαι-
ώματά μου καὶ ἀναλαμβάνεις
τὴν διαθήκην μου διὰ στόμα-
τός σου;
Σὺ δὲ ἐμίσησας παιδείαν.
καὶ ἐξέβαλες τοὺς λόγους
μου εἰς τὰ ὀπίσω.
Εἰ ἐθεώρεις κλέπτην συνέτρε-
χες αὐτῷ. καὶ μετὰ μοιχοῦ
τὴν μερίδα σου ἐτίθεις.
Τὸ στόμα σου ἐπλεόνασε κακί-
ας. καὶ ἡ γλῶσσά σου περιέ-
πλεκε δολιότητας
Καθήμενος κατὰ τοῦ ἀδελ-
φοῦ σου κατελάλεις. καὶ κα-
τὰ τοῦ υἱοῦ τῆς μητρός σου

agri cum me est.
Si esuriero non tibi dicam
meus enim est orbis. &
plenitudo eius.
An manducabo carnes tauro(rum) aut
sanguinem hircorum bibam?
Immola deo sacrificium lau-
dis. & redde altissimo
uota tua.
Et inuoca me in die
tribulationis tuae. & eripiam
te. & glorificabis me.
Sed peccatori dixit de-
us. quare tu enarras iustifica-
tiones meas. & assumis
testamentum meum per os
tuum?
Tu autem odisti disciplinam
& eiecisti sermones
meos in retro.
Si uidebas furem concur-
rebas ei. & cum adultero
partem tuam ponebas.
Os tuum abundauit mali-
cia. & lingua tua circumplecte-
batur dolos.
Sedens aduersus fra-
trem tuum detrahebas. & con-
tra filium matris tuae

ἐτίθεις σκάνδαλον. ταῦτα ἐποίησας καὶ ἐσίγησα.
Ὑπέλαβες ἀνομίαν ὅτι ἔσομαί σοι ὅμοιος. ἐλέγξω καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου.
Σύνετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ θεοῦ. μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος.
Θυσία αἰνέσεως δοξάσει με καὶ ἐκεῖ ὁδὸς ἣν δείξω αὐτῷ τὸ σωτήριόν μου.

ponebas scandalum. hæc fecisti. & tacui.
Existimasti iniquitatem quod ero tibi similis. arguam & sistam contra faciem tui peccata tui.
Intelligite hæc obliuiscentes dei. nequando rapiat. & non sit liberans.
Sacrificium laudis glorificabit me & illic uia quam ostendam ei salutare mei.

Ψαλμὸς τῷ Δαυὶδ ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεὲ τὴν γυναῖκα τοῦ Οὐρίου. N.

τὰ ἐπιτηδεύματα τῆς καρ
δίας αὐτῶν. πορεύσονται ἐν
τοῖς ἐπιτηδεύμασιν αὐτῶν.
Εἰ ὁ λαός μου ἤκουσέ μου. Ἰσρα
ὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη.
Ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς
αὐτῶν ἐταπείνωσα. καὶ ἐπὶ
τοὺς θλίβοντας αὐτοὺς ἐπέ
βαλον ἂν τὴν χεῖρά μου.
Οἱ ἐχθροὶ κυρίου ἐψεύσαντο αὐ
τῷ. καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς
τὸν αἰῶνα.
Καὶ ἐψώμισεν αὐτοὺς ἐκ στέα
τος πυροῦ. καὶ ἐκ πέτρας μέ-
λι ἐχόρτασεν αὐτούς.

dictionis.
Audi populus mei & conteſta
bor tibi. Iſrael ſi audie-
ris me. non erit in te deus
recens. neque adora-
bis deo alieno.
Ego enim ſum dominus deus tui
educens te de terra ægypti.
dilata os tui &
implebo illud.
Et non audiuit populus mei
uocis mei. & iſrael
non attendit mihi.
Et emiſi eos ſecundum
deſideria cor-
dis eorum. ibunt in
adinuentionibus eorum.
Si populus mei audiſſet mei iſra-
el uiis mei ſi iuiſſet-
In nihilo inimicos
eorum humiliaſſem. & ſuper
tribulantes eos miſiſ-
ſem manum mei.
Inimici domini mentiti ſunt e-
i. & erit tempus eorum
in ſæculum.
Et cibauit eos ex adi-
pe frumenti. & ex petra mel
le ſaturauit eos.

Δό. ψαλμὸς τῷ ἀσάφ. πα.

Ὁ θεὸς ἔστη ἐν συναγωγῇ
θεῶν. ἐν μέσῳ δὲ θε-
οὺς διακρινεῖ.
Ἕως πότε κρίνετε ἀδικίαν. καὶ
πρόσωπα ἁμαρτωλῶν λαμ-
βάνετε.
Κρίνατε ὀρφανῷ καὶ πτωχῷ.
ταπεινὸν καὶ πένητα δικαιώ-
σατε..
Ἐξέλεσθε πένητα καὶ πτωχόν. ἐκ
χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐ-
τόν.
Οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, ἐν
σκότει διαπορεύονται. σαλευ-
θήτωσαν πάντα τὰ θεμέλια
τῆς γῆς.
Ἐγὼ εἶπα θεοί ἐστε. καὶ υἱοὶ ὑψί-
στου πάντες.
Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀπο-
θνήσκετε καὶ ὡς εἷς τῶν ἀρχόν-
των ἐκπίπτετε.
Ἀνάστα ὁ θεός κρῖνον τὴν γῆν.
ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶ-
σι τοῖς ἔθνεσι.

ᾠδὴ ψαλμὸς τῷ ἀσάφ. πβ.

Gloria. Psalmus Asaph. lxxxi.

Deus stetit in concilio
deorum. in medio aūt de-
os diiudicabit.
Vsquequo iudicatis iniusticiam &
facies peccatorum su-
mitis.
Iudicate pupillo & egeno
humilem & pauperem iustifi-
cate.
Eripite pauperem & egenum ex
manu peccatoris liberate e-
um.
Non cognouerūt neqꝫ ītellexerūt
in tenebris ambulant. moue-
antur omnia fundamenta
terræ.
Ego dixi dii estis. & filii ex-
celsi omnes.
Vos autem sicut homines mo-
rimini. & sicut unus princi-
pum excidistis.
Exurge deus iudica terram. quia
tu hereditabis in o-
mnibus gentibus.

Canticum psalmus Asaph. lxxxii

Ὁ θεὸς τίς ὁμοι-
ωθήσεταί σοι. μὴ σιγή-
σῃς, μηδὲ καταπραΰνῃς ὁ θε-
ός.
Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν
καὶ οἱ μισοῦντές σε ἦραν κε-
φαλήν.
Ἐπὶ τὸν λαόν σου κατεπανουρ-
γεύσαντο γνώμην. καὶ ἐβουλεύ-
σαντο κατὰ τῶν ἁγίων σου.
Εἶπον δεῦτε καὶ ἐξολοθρεύσω-
μεν αὐτοὺς ἐξ ἔθνους. καὶ οὐ
μὴ μνησθῇ τὸ ὄνομα ἰσραὴλ ἔ-
τι.
Ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ
ἐπὶ τὸ αὐτό. κατὰ σοῦ διαθή-
κην.
Διέθεντο τὰ σκηνώματα τῶν
ἰδουμαίων. καὶ οἱ ἰσμαηλῖ-
ται μωὰβ καὶ οἱ ἀγαρηνοί.
Γεβὰλ καὶ ἀμμὼν καὶ ἀμαλήκ.
ἀλλόφυλοι μετὰ τῶν κατοι-
κούντων τύρον.
Καὶ γὰρ καὶ ἀσσοὺρ συμπαρεγέ-
νετο μετ᾽ αὐτῶν. ἐγενήθησαν
εἰς ἀντίληψιν τοῖς υἱοῖς λώτ.
Ποίησον αὐτοὺς ὡς τῇ μαδι-
ὰμ καὶ τῷ σισάρᾳ. ὡς τῷ ἰ-
αβὶμ ἐν τῷ χειμάῤῥῳ κι-

Deus quis assi-
milabitur tibi. ne tace-
as. neq compescaris de-
us.
Quoniã ecce inimici tui sonuerũt
& odientes te leuauerunt ca-
put.
In plebem tuam dolose cogita
uerunt consilium. & cogitaue
runt aduersus sanctos tui.
Dixerunt uenite & disper
damus eos de gente. & non
memoretur nomen israel am
plius.
Quoniam cogitauerunt in cõsensu
in unum aduersus tui testa
mentum.
Disposuerunt tabernacula
idumaeorum. & ismaeli-
tae moab & agareni.
Gebal & amon & amalec
alienigenae cum habitan-
tibus tyrum.
Et enim asur fuit
cum eis. fuerunt
in adiutorium filius lot.
Fac eos sicut madi-
am & sisarae. sicut i-
abim in torrente ci-

σώρ.
ἐξωλοθρεύθησαμ ἐμ ἀεμδώρ. ἐ
γεμήθησαμ ὡσεὶ κόπρος τῆ
γῆ.
θοῦ τοὺς ἄρχοντας αὐτῶμ ὡς
τὸμ ὠρὴβ καὶ ζὴβ καὶ ζεβεὲ
καὶ σαλμαμάμ.
Πάμτας τοὺς ἄρχομτας αὐ
τῶμ οἵτιμες εἶπομ κληρομο
μήσωμεμ αὐτοῖς τὸ ἁγιαστή
ριομ τοῦ θεοῦ.
Ὁ θεός μου θοῦ αὐτοὺς ὡς τρο
χόμ. ὡς καλάμημ κατὰ πρό
σωπομ ἀμέμου.
ὡσεὶ πῦρ ὃ διαφλέξει δρυ
μόμ. ὡσεὶ φλὸξ ἣ κατακαύ
σει ὄρη.
Οὕτως καταδιώξεις αὐτοὺς
ἐμ τῇ καταιγίδι σου. καὶ ἐμ
τῇ ὀργῇ σου συνταράξεις αὐ-
τούς.
Πλήρωσομ τὰ πρόσωπα αὐ
τῶμ ἀτιμίας. καὶ ζητήσουσι
τὸ ὄμομά σου κύριε.
Αἰσχυνθήτωσαμ καὶ ταραχ
θήτωσαμ εἰς τὸμ αἰῶμα τοῦ
αἰῶμος. καὶ ἐμτραπήτωσαμ
καὶ ἀπολέσθωσαμ.
Καὶ γμώτωσαμ ὅτι ὄμομά σοι

son.
Dispierierunt in aendor. fa-
cti sunt ut stercus
terræ.
Pone principes eorum sicut
oreb & zeb & zebee
& salmanan.
Omnes principes eo
rum qui dixerunt hæriditate possi
deamus sanctua
rium dei.
Deus mei pone eos sicut ro
tam. sicut stipulam ante fa-
ciem uenti.
Sicut ignis qui comburet syl
uam. sicut flama quæ combu-
ret montes.
Sic persequeris eos
in tempestate tui. & in
ira tui conturbabis e
os.
Imple facies eo-
rum ignominiæ. & quærent
nomen tui domine.
Erubescant & turben-
tur in sæculum
sæculi. & reuereantur
& pereant.
Et sciant quia nomen tibi

κύριος. σὺ μόνος ὕψιστος ἐπὶ
πᾶσαν τὴν γῆν.

dominus. tu solus altissimus super
omnem terram.

εἰς τὸ τέλος ὑπὲρ τῶν λη-
νῶν τοῖς υἱοῖς κορὲ ψαλμός.
πγ.

In finem pro tor-
cularibus filiis core psalmus.
lxxxiii.

Ὡς ἀγαπητὰ τὰ σκηνώμα-
τά σου κύριε τῶν δυνάμε-
ων. ἐπιποθεῖ καὶ ἐκλείπει ἡ
ψυχή μου εἰς τὰς αὐλὰς
τοῦ κυρίου.
Ἡ καρδία μου καὶ ἡ σάρξ μου
ἠγαλλιάσαντο ἐπὶ θεῷ ζῶντι.
Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ
οἰκίαν. καὶ τρυγὼν νοσσιὰν ἑαυ-
τῇ. οὗ θήσει τὰ νοσσία ἑαυτῆς.
Τὰ θυσιαστήριά σου κύριε τῶν
δυνάμεων. ὁ βασιλεύς μου
καὶ ὁ θεός μου.
Μακάριοι οἱ κατοικοῦντες ἐν
τῷ οἴκῳ σου εἰς τοὺς αἰῶνας
τῶν αἰώνων αἰνέσουσί σε.
Μακάριος ἀνὴρ οὗ ἐστὶν ἀντίλη-
ψις αὐτῷ παρά σου. ἀναβά-
σεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέ-
θετο εἰς τὴν κοιλάδα τοῦ
κλαυθμῶνος εἰς τὸν τόπον
ὃν ἔθετο.

Quam dilecta taberna-
cula tua domine uirtu-
tum concupiscit & deficit
anima mea in atria
domini.
Cor meum & caro mea
exultauerunt in deo uiuo.
Et enim passer inuenit sibi
domum. & turtur nidum si-
bi ubi ponet pullos eius.
Altaria tua domine
uirtutum. rex meus
& deus meus.
Beati habitantes in
domo tua in saecula
saeculorum laudabunt te.
Beatus uir cuius est auxili-
um eius ab te. ascen-
siones in corde eius dispo-
suit in uallem
luctus in locum
quem posuit.

Καὶ γὰρ εὐλογίας δώσει ὁ νο
μοθέτης, πορεύσονται ἐκ δυ-
νάμεως εἰς δύναμιν. ὀφθήσε
ται ὁ θεὸς τῶν θεῶν ἐν σιὼν.
Κύριε ὁ θεὸς τῶν δυνάμεων
εἰσάκουσον τῆς προσευχῆς
μου. ἐνώτισαι ὁ θεὸς ἰακὼβ
Ὑπερασπιστὰ ἡμῶν ἴδε ὁ θεὸς
καὶ ἐπίβλεψον εἰς τὸ πρόσω
πον τοῦ χριστοῦ σου.
Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς
αὐλαῖς σου ὑπὲρ χιλιάδας.
ἐξελεξάμην παραρριπτεῖσθαι
ἐν τῷ οἴκῳ τοῦ θεοῦ μου μᾶλ
λον ἢ οἰκεῖν με ἐν σκηνώμασιν
ἁμαρτωλῶν.
Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ
κύριος. ὁ θεὸς χάριν καὶ δόξαν
δώσει.
Κύριος οὐ στερήσει τὰ ἀγαθὰ
τοῖς πορευομένοις ἐν ἀκακίᾳ.
κύριε ὁ θεὸς τῶν δυνάμεων
μακάριος ἄνθρωπος ὁ ἐλπίζων
ἐπὶ σέ.

Εἰς τὸ τέλος τοῖς υἱοῖς
κορὲ ψαλμός. πδ.

Et enim benedictiones dabit le
gis lator. ibunt ex uir
tute in uirtutem. uidebi-
tur deus deorum in sion.
Domine deus uirtutum
exaudi orationem
mei. auribus percipe deus iacob.
Protector noster uide deus
& respice in faci-
em christi tui.
Quoniam melior dies una in
atriis tuis super milia.
Elegi pro[ie]ci
in domo dei mei ma-
gis quam habitare in tabernaculis
peccatorum.
Quoniam misericordiã & ueritatẽ
diligit dominus. deus gratiã & glo
riam dabit.
Dominus non priuabit bonis
ambulantes in innocentia
domine deus uirtutum
beatus homo sperans
in te.

In finem filiis
core psalmus. lxxxiiii.

ἐ υδόκησας κύριε τὴν
γῆν σου. ἀπέστρεψας
τὴν αἰχμαλωσίαν ἰακώβ.
Ἀφῆκας τὰς ἀνομίας τῷ λα-
ῷ σου. ἐκάλυψας πάσας τὰς
ἁμαρτίας αὐτῶν.
Κατέπαυσας πᾶσαν τὴν ὀργήν
σου ἀπέστρεψας ἀπὸ ὀργῆς θυ
μοῦ σου.
Ἐπίστρεψον ἡμᾶς ὁ θεὸς τῶν σω
τηρίων ἡμῶν. καὶ ἀπόστρεψον
τὸν θυμόν σου ἀφ᾽ ἡμῶν.
Μὴ εἰς τοὺς αἰῶνας ὀργισθήσῃ
ἡμῖν. ἢ διατενεῖς τὴν ὀργήν
σου ἀπὸ γενεᾶς εἰς γενεάν.
Ὁ θεὸς σὺ ἐπιστρέψας ζωώσεις
ἡμᾶς. καὶ ὁ λαός σου εὐφραν-
θήσεται ἐπὶ σοί.
Δεῖξον ἡμῖν κύριε τὸ ἔλεός
σου. καὶ τὸ σωτήριόν σου δώῃς
ἡμῖν.
Ἀκούσομαι τί λαλήσει ἐν ἐ-
μοὶ κύριος ὁ θεός. ὅτι λαλή-
σει εἰρήνην ἐπὶ τὸν λαὸν αὐ
τοῦ.
Καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ
ἐπὶ τοὺς ἐπιστρέφοντας καρ
δίαν ἐπ᾽ αὐτόν.
Πλὴν ἐγγὺς τῶν φοβουμένων

b enedixisti domine
terram tui. auertisti
captiuitatem Iacob.
Dimisisti iniquitates ple-
bi tui. operuisti omnia
peccata eorum.
Mitigasti omnem iram
tui. auertisti ab ira in-
dignationis tui.
Conuerte nos deus salu-
tarium nostrum. & auerte
iram tui a nobis.
Ne in æternum irascaris
nobis. aut extendas iram
tui a generatione in generationē.
Deus tu conuersus uiuificabis
nos. & plebs tui læta-
bitur in te.
Ostende nobis dōne misericordiā
tui. & salutare tui da
nobis.
Audiam quid loquetur in
me dominus deus. quoniam loque
tur pacem in plebem e-
ius.
Et super sanctos eius &
in conuertentes
cor ad eum.
Veruntamen prope timentes

αὐτὸν τὸ σωτήριον αὐτοῦ.
τοῦ κατασκηνῶσαι δόξαν
ἐν τῇ γῇ ἡμῶν.
ἔλεος καὶ ἀλήθεια συνήντη-
σαν. δικαιοσύνη καὶ εἰρήνη κα-
τεφίλησαν.
ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε.
καὶ δικαιοσύνη ἐκ τοῦ οὐρα-
νοῦ διέκυψε.
καὶ γὰρ ὁ κύριος δώσει χρηστό-
τητα. καὶ ἡ γῆ ἡμῶν δώσει
τὸν καρπὸν αὐτῆς.
δικαιοσύνη ἐνώπιον αὐτοῦ
προπορεύσεται. καὶ θήσει εἰς
ὁδὸν τὰ διαβήματα αὐτοῦ.

Προσευχὴ τῷ Δαυὶδ εἰς τὸ
τέλος τοῖς υἱοῖς κορέ. πε.

κ λῖνον κύριε τὸ οὖς
σου καὶ ἐπάκουσόν μου.
ὅτι πτωχὸς καὶ πένης εἰμὶ
ἐγώ.
φύλαξον τὴν ψυχήν μου ὅτι ὅ-
σιός εἰμι. σῶσον τὸν δοῦλόν
σου ὁ θεός μου τὸν ἐλπίζοντα
ἐπὶ σέ.
ἐλέησόν με κύριε ὅτι πρὸς σὲ
κεκράξομαι ὅλην τὴν ἡμέ-

eum ſalutare eius.
inhabitare gloriam
in terra noſtrum.
Miſericordia & ueritas obuiaue-
runt iuſticia & pax oſcula-
tæ ſunt.
Veritas ex terra orta eſt.
& iuſticia de cæ-
lo proſpexit.
Et enim dominus dabit benigni-
tatem & terra noſtrum dabit
fructum eius.
Iuſticia coram eo
præibit. & ponet in
uiam greſſus eius.

Oratio Dauid in
finem filiis Core. lxxxv.

I nclina domine aurem
tui & exaudi me.
quoniam inops & pauper ſum
ego.
Cuſtodi animam mei quoniam ſan-
ctus ſum. ſalua ſeruum
tui deus mei ſperantem
in te.
Miſerere mei quoniam ad te
clamabo totam di-

ραμ. εὔφρανομ τὴμ ψυχὴμ τοῦ
δούλου σου ὅτι πρὸς σὲ ἦρα
τὴμ ψυχήμ μου.
Ὅτι σὺ κύριε χρηστὸς καὶ ἐπιει
κής. καὶ πολυέλεος πᾶσι τοῖς
ἐπικαλουμένοις σε.
Ἐνώτισαι κύριε τὴμ προσευ
χήμ μου καὶ πρόσσχες τῇ φω
μῇ τῆς δεήσεώς μου.
Ἐμ ἡμέρᾳ θλίψεώς μου ἐκέ-
κραξα πρὸς σε. ὅτι ἐπήκου-
σάς μου.
Οὐκ ἔστιμ ὅμοιός σοι ἐμ θεοῖς κύ-
ριε. καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα
σου.
Πάμτα τὰ ἔθμη ὅσα ἐποίησας
ἥξουσι καὶ προσκυνήσουσιμ
ἐμώπιόμ σου κύριε. καὶ δοξά-
σουσι τὸ ὄνομά σου.
Ὅτι μέγας εἶ σύ. καὶ ποιῶμ θαυ-
μάσια σὺ εἶ ὁ θεὸς μόμος.
Ὁδήγησόμ με κύριε ἐμ ὁδῷ
σου καὶ πορεύσομαι ἐμ τῇ ἀ-
ληθείᾳ σου. εὐφραμθήτω ἡ καρ-
δία μου τοῦ φοβεῖσθαι τὸ ὄ-
μομά σου. --
Ἐξομολογήσομαί σοι κύριε ὁ
θεός μου ἐμ ὅλῃ καρδίᾳ μου.
καὶ δοξάσω τὸ ὄνομά σου εἰς

em. lætifica animam
serui tui quoniam ad te leuaui
animam mei.
Quoniã tu domine suauis & mi-
tis. & multum misericors omnibus
inuocantibus te.
Audi domine oratio
nem mei & attende uo-
ci deprecationis mei.
In die tribulationis mei clama
ui ad te. quoniam exaudi-
sti me.
Non est similis tibi in diis do-
mine. & non est secundum opera
tui.
Omnes gentes quascunque fecisti
uenient & adorabunt
coram te domine & glorifica-
bunt nomen tui.
Quoniã magnus es tu. & faciẽs mi-
rabilia. tu es deus solus.
Deduc me domine in uia
tui. & ingrediar in ueri
tate tui. lætetur
cor mei timere no-
men tui.
Confitebor tibi domine
deus mei in toto corde mei
& glorificabo nomen tui in

τὸν αἰῶνα.
Ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμέ.
καὶ ἐρρύσω τὴν ψυχήν μου
ἐξ ᾅδου κατωτάτου.
Ὁ θεὸς παράνομοι ἐπανέστησαν
ἐπ' ἐμέ. καὶ συναγωγὴ κραται-
ῶν ἐζήτησαν τὴν ψυχήν μου.
καὶ οὐ προέθεντό σε ἐνώπι-
ον αὐτῶν.
Καὶ σὺ κύριε ὁ θεός μου οἰκ-
τίρμων καὶ ἐλεήμων μα-
κρόθυμος καὶ πολυέλεος καὶ
ἀληθινός.
Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέη-
σόν με. δὸς τὸ κράτος σου
τῷ παιδί σου. καὶ σῶσον τὸν
υἱὸν τῆς παιδίσκης σου.
Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς
ἀγαθόν, καὶ ἰδέτωσαν οἱ μι-
σοῦντές με καὶ αἰσχυνθήτω-
σαν, ὅτι σὺ κύριε ἐβοήθησάς
μοι καὶ παρεκάλεσάς με.

Τοῖς υἱοῖς Κορὲ ψαλμὸς ᾠ-
δῆς. πϛ.

ὁ ι θεμέλιοι αὐτοῦ ἐν
τοῖς ὄρεσι τοῖς ἁγίοις.
ἀγαπᾷ κύριος.

ſæculum.
Quoniam miſericordia tui magna
ſuper me. & eruiſti animã mei
ex inferno infimo.
Deus iniqui inſurrexerunt
ſuper me. & ſynagoga for
tium quæſierunt animam mei
& non propoſuerunt te co-
ram eis.
Et tu domine deus mei miſe
rator & miſericors pa-
tiens & multæ miſericordiæ &
uerax.
Reſpice in me & miſe-
rere mei. da imperium tui
puero tui. & ſalua
filium ancillæ tui.
Fac cum me ſignum in
bonum & uideant odien
tes me & confundan-
tur quoniam tu domine adiuuiſti
me & conſolatus es me.

Filiis core pſalmus canti-
ci. lxxxvii.

f undamenta eius in
montibus ſanctis.
diligit dominus

τὰς πύλας σιὼν ὑπὲρ πάν-
τα τὰ σκηνώματα ἰακώβ.
Δεδοξασμένα ἐλαλήθη περὶ
σοῦ ἡ πόλις τοῦ θεοῦ.
Μνησθήσομαι ῥαὰβ καὶ βαβυ
λῶνος τοῖς γινώσκουσί με.
Καὶ ἰδοὺ ἀλλόφυλοι καὶ τύρος
καὶ λαὸς τῶν αἰθιόπων, οὗ-
τοι ἐγενήθησαν ἐκεῖ.
Μήτηρ σιὼν ἐρεῖ ἄνθρωπος.
καὶ ἄνθρωπος ἐγενήθη ἐν αὐ
τῇ. καὶ αὐτὸς ἐθεμελίωσεν
αὐτὴν ὁ ὕψιστος.
Κύριος διηγήσεται ἐν γραφῇ
λαῶν καὶ ἀρχόντων τούτων
τῶν γεγενημένων ἐν αὐτῇ.
Ὡς εὐφραινομένων πάντων
ἡ κατοικία ἐν σοί.

portas sion super o-
mnia tabernacula Iacob.
Gloriosa dicta sunt de
te ciuitas dei.
Recordabor rhab & baby
lonis scientibus me
Et ecce alienigenæ & tyrus
& populus æthiopum hii
fuerunt illic.
Mater sion dicet homo-
& homo natus est in e-
a. & ipse fundauit
eam altissimus.
Dominus narrabit in scriptura
populorum & principum horum
qui fuerunt in ea.
Sicut lætantium omnium
habitatio in te.

ᾠδὴ ψαλμὸς τοῖς υἱοῖς κορὲ
εἰς τὸ τέλος ὑπὲρ μαελὲθ
τοῦ ἀποκριθῆναι λόγον συνέ-
σεως αἰμὰν τῷ ἰσραηλίτῃ.
πζ.

Canticum psalmus filiis Core
in finem pro Maeleh
respondere sermonem intel-
lectus Hæman israelitæ.
lxxxvii.

Κ ύριε ὁ θεὸς τῆς σωτηρίας
μου ἡμέρας ἐκέκραξα καὶ
ἐν νυκτὶ ἐναντίον σου.
Εἰσελθέτω ἐνώπιόν σου ἡ προ

D omine deus salutis
mei die clamaui &
in nocte coram te.
Intret coram te o-

προσευχή μου. κλῖνον τὸ οὖς σου
εἰς τὴν δέησίν μου.
Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή
μου. καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγ-
γισε.
Προσελογίσθην μετὰ τῶν κα-
ταβαινόντων εἰς λάκκον. ἐγε-
νήθην ὡσεὶ ἄνθρωπος ἀβοή-
θητος ἐν νεκροῖς ἐλεύθερος.
ὡσεὶ τραυματίαι καθεύδον-
τες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσ-
θης ἔτι. καὶ αὐτοὶ ἐκ τῆς χει-
ρός σου ἀπώσθησαν.
Ἔθεντό με ἐν λάκκῳ κατωτά-
τῳ. ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ
θανάτου.
Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός
σου. καὶ πάντας τοὺς μετεωρ-
ισμούς σου ἐπήγαγες ἐπ' ἐμέ.
Ἐμάκρυνας τοὺς γνωστούς μου ἀ-
π' ἐμοῦ. ἔθεντό με βδέλυγμα ἐ-
αυτοῖς.
Παρεδόθην καὶ οὐκ ἐξεπορευό-
μην. οἱ ὀφθαλμοί μου ἠσθένη-
σαν ἀπὸ πτωχείας.
Ἐκέκραξα πρός σε ὅλην τὴν ἡ-
μέραν. διεπέτασα πρός σε τὰς
χεῖράς μου.
Μὴ τοῖς νεκροῖς ποιήσεις θαυ-

ratio mei. inclina aurem tuã
in precem mei.
Quoniã impleta est maloꝝ anima
mea & uita mea inferno appro-
pinquauit.
Computatus sum cum
descendentibus in lacum. factus
sum sicut homo sine adiuto-
rio inter mortuos liber.
Sicut uulnerati dormien-
tes in sepulchro quoꝝ nõ recorda
tus es amplius. & ipsi ex ma
nu tui expulsi sunt.
Posuerunt me in lacu in fi-
mo in tenebrosis & in umbra
mortis.
Super me confirmatus est furor
tui. & omnes elatio-
nes tuas induxisti super me.
Elongasti notos mei
a me. posuerũt me abominationẽ si
bi.
Traditus sum & non egredie-
bar. oculi mei elangue-
runt ab inopia.
Clamaui ad te totam di-
em expandi ad te
manus mei.
Nunquid mortuis facies mira-

μάσια; ἢ ἰατροὶ ἀναστήσουσι
καὶ ἐξομολογήσονταί σοι;
Μὴ διηγήσεταί τις ἐν τῷ τά-
φῳ τὸ ἔλεός σου. καὶ τὴν ἀλή-
θειάν σου ἐν τῇ ἀπωλείᾳ;
Μὴ γνωσθήσεται ἐν τῷ σκότει
τὰ θαυμάσιά σου; καὶ ἡ δικαι-
οσύνη σου ἐν γῇ ἐπιλελησμένῃ.
Κἀγὼ πρὸς σὲ κύριε ἐκέκραξα.
καὶ τὸ πρωῒ ἡ προσευχή μου
προφθάσει σε.
Ἵνα τί κύριε ἀπωθεῖς τὴν ψυ-
χήν μου. ἀποστρέφεις τὸ πρό-
σωπόν σου ἀπ᾽ ἐμοῦ.
Πτωχός εἰμι ἐγὼ καὶ ἐν τοῖς
κόποις ἐκ νεότητός μου. ὑ-
ψωθεὶς δὲ ἐταπεινώθην καὶ
ἐξηπορήθην.
Ἐπ᾽ ἐμὲ διῆλθον αἱ ὀργαί σου.
οἱ φοβερισμοί σου ἐξετάραξάν
με.
Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ. ὅ-
λην τὴν ἡμέραν περιέσχον
με ἅμα.
Ἐμάκρυνας ἀπ᾽ ἐμοῦ φίλον
καὶ πλησίον. καὶ τοὺς γνωστούς
μου. ἀπὸ ταλαιπωρίας

bilia ? aut medici suscitabunt
& confitebuntur tibi ?
Nunquid narrabit aliquis in se-
pulchro misericordiam tui & ue-
ritatem tui in perditione.
Nunquid cognoscentur in tenebra
mirabilia tui ? & iusti-
cia tui in terra obliterata
Et ego ad te domine clamaui
& mane oratio mei
præueniet te.
Vt quid domine repellis ani-
mam mei. auertis faci-
em tui a me.
Pauper sum ego & in
laboribus ex iuuentute mei. exal-
tatus autem humiliatus sum &
anxius fui.
Super me transierunt iræ tui
terrores tui conturbauerunt
me.
Circundederunt me sicut aqua to-
tam diem circundederunt
me simul.
Elongasti a me amicum
& proximum. & notos
mei a miseria.

Δό. Συνέσεως αἰθὰμ τῷ ἰσρα-
ηλίτῃ. πη.

τ ἀ ἐλέη σου κύριε εἰς τὸν
αἰῶνα ᾄσομαι.
εἰς γενεὰν καὶ γενεὰν ἀπαγγε-
λῶ τὴν ἀλήθειάν σου ἐν τῷ
στόματί σου.
Ὅτι εἶπας εἰς τὸν αἰῶνα ἔλεος
οἰκοδομηθήσεται. ἐν τοῖς οὐ-
ρανοῖς ἑτοιμασθήσεται ἡ ἀλή-
θειά σου.
Διεθέμην διαθήκην τοῖς ἐκ-
λεκτοῖς μου. ὤμοσα Δαυὶδ
τῷ δούλῳ μου ἕως τοῦ αἰῶ-
νος ἑτοιμάσω τὸ σπέρμα σου.
Καὶ οἰκοδομήσω εἰς γενεὰν
καὶ γενεὰν τὸν θρόνον σου.
Ἐξομολογήσονται οἱ οὐρανοὶ
τὰ θαυμάσιά σου κύριε. καὶ
γὰρ τὴν ἀλήθειάν σου ἐν ἐκ-
κλησίᾳ ἁγίων.
Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσε-
ται τῷ κυρίῳ. ὁμοιωθήσεται
τῷ κυρίῳ ἐν υἱοῖς θεοῦ.
Ὁ θεὸς ὁ ἐνδοξαζόμενος ἐν βου-
λῇ ἁγίων. μέγας καὶ φοβε-
ρὸς ἐστὶν ἐπὶ πάντας τοὺς
περικύκλῳ αὐτοῦ.

Gloria. Intellectus hæthan isra-
elitae. lxxxviii.

m isericordias tui domine in
æternum cantabo.
In generationē & generationē an-
nuntiabo ueritatem tui in
ore mei.
Quoniā dixisti in æternū miseri-
cordia ædificabitur in cæ-
lis præparabitur ueri-
tas tui.
Disposui testamentum ele-
ctis mei. iuraui dauid
seruo mei usque in sæcu-
lum parabo semen tui.
Et ædificabo in generationem
& generationem sedem tui.
Confitebuntur cæli
mirabilia tui domine. &
enim ueritatem tui in concio-
ne sanctorum.
Quoniam quis in nubibus æquabi-
tur domino. assimilabitur
domino in filiis dei.
Deus qui glorificatur in consi-
lio sanctorum. magnus & terri-
bilis super omnes
circa eum.

Κύριε ὁ θεὸς τῶν δυνάμεων
τίς ὅμοιός σοι. δυνατὸς εἶ
κύριε καὶ ἡ ἀλήθειά σου κύ
κλῳ σου.
Σὺ δεσπόζεις τοῦ κράτους
τῆς θαλάσσης. τὸν δὲ σάλον
τῶν κυμάτων αὐτῆς σὺ κατα-
πραΰνεις.
Σὺ ἐταπείνωσας ὡς τραυμα
τίαν ὑπερήφανον. ἐν τῷ βρα
χίονι τῆς δυνάμεώς σου
διεσκόρπισας τοὺς ἐχθροὺς
σου.
Σοί εἰσιν οἱ οὐρανοὶ καὶ σή ἐ-
στιν ἡ γῆ. τὴν οἰκουμένην καὶ
τὸ πλήρωμα αὐτῆς σὺ ἐθε-
μελίωσας. τὸν βορρᾶν καὶ
τὴν θάλασσαν σὺ ἔκτισας.
Θαβὼρ καὶ ἑρμὼν ἐν τῷ ὀνο
ματί σου ἀγαλλιάσονται. σὸς
ὁ βραχίων μετὰ δυναστείας.
Κραταιωθήτω ἡ χείρ σου ὑ
ψωθήτω ἡ δεξιά σου. δικαιο-
σύνη καὶ κρίμα ἑτοιμασία
τοῦ θρόνου σου.
ἔλεος καὶ ἀλήθεια προπο-
ρεύσονται πρὸ προσώπου σου.
μακάριος ὁ λαὸς ὁ γινώ-
σκων ἀλαλαγμόν.

Domine deus uirtutum
quis similis tibi. potens es
domine & ueritas tua cir
ca te.
Tu dominaris potestatis
maris. sed motum
fluctuum eius tu miti-
gas.
Tu humiliasti sicut uulnera
tum superbum. in bra
chio uirtutis tui
dispersisti inimicos
tui.
Tui sunt cæli & tua
est terra. orbem &
plenitudinem eius tu fun
dasti. aquilonem &
mare tu creasti.
Thabor & hermon in no
mine tuo exultabunt. tuum
brachium cum potentia.
Firmetur manus tua exal
tetur dextera tua. iusti-
cia & iudicium præparatio
solii tui.
Misericordia & ueritas præce
dent ante faciem tuā.
beatus populus sci-
ens iubilationem.

Κύριε ἐν τῷ φωτὶ τοῦ προσώ
που σου πορεύσονται. καὶ ἐν
τῷ ὀνόματί σου ἀγαλλιάσον
ται ὅλην τὴν ἡμέραν.
Καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑ
ψωθήσονται. ὅτι καύχημα
τῆς δυνάμεως αὐτῶν σὺ εἶ.
καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθή
σεται τὸ κέρας ἡμῶν.
Ὅτι τοῦ κυρίου ἡ ἀντίληψις καὶ
τοῦ ἁγίου ἰσραὴλ βασιλέως
ἡμῶν.
Τότε ἐλάλησας ἐν ὁράσει τοῖς
υἱοῖς σου. καὶ εἶπας ἐθέμην
βοήθειαν ἐπὶ δυνατόν. ὕψωσα
ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου.
Εὗρον δαυὶδ τὸν δοῦλόν μου,
ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐ
τόν.
Ἡ γὰρ χείρ μου συναντιλήψε
ται αὐτῷ. και ὁ βραχίων μου
κατισχύσει αὐτόν.
Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐ
τῷ. καὶ υἱὸς ἀνομίας οὐ προσ
θήσει τοῦ κακῶσαι αὐτόν.
Καὶ συγκόψω ἀπὸ προσώπου
αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ.
καὶ τοὺς μισοῦντας αὐτὸν τρο
πώσομαι.

Domine in lumine uul
tus tui ambulabunt. & in
nomine tuo exulta
bunt totam diem.
Et in iusticia tui exul
tabuntur. quoniam gloria
uirtutis eorum tu es.
& in beneplacito tui exalta
bitur cornu nostrum.
Quoniam domini assumptio &
sancti israel regis
nostrum.
Tunc locutus es in uisione
filiis tui. & dixisti posui
adiutorium super potenti. exaltaui
electum ex plebe mei.
Inueni dauid seruum mei.
in oleo sancto mei unxi e
um.
Enim manus mei auxilia
bitur ei. & brachium mei
confortabit eum.
Non proficiet inimicus in e
o. & filius iniquitatis non appo
net affligere eum.
Et concidam a facie
eius inimicos eius.
& odientes eum fu
gabo.

Καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλε-
ός μου μετ' αὐτοῦ. καὶ ἐν τῷ ὀ-
νόματί μου ὑψωθήσεται τὸ κέ-
ρας αὐτοῦ.
Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα
αὐτοῦ. καὶ ἐν ποταμοῖς δεξιὰν
αὐτοῦ.
Αὐτὸς ἐπικαλέσεταί με πα-
τήρ μου εἶ σύ. θεός μου καὶ ἀν-
τιλήπτωρ τῆς σωτηρίας μου.
Κἀγὼ πρωτότοκον θήσομαι αὐ-
τὸν ὑψηλὸν παρὰ τοῖς βασι-
λεῦσι τῆς γῆς.
Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ
τὸ ἔλεός μου. καὶ ἡ διαθήκη
μου πιστὴ αὐτῷ.
Καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς
ἡμέρας τοῦ οὐρανοῦ.
Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐ-
τοῦ τὸν νόμον μου καὶ ἐν τοῖς
κρίμασί μου μὴ πορευθῶσιν
Ἐὰν τὰ δικαιώματά μου βεβη-
λώσωσι. καὶ τὰς ἐντολάς μου
μὴ φυλάξωσι.
Ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀ-
νομίας αὐτῶν. καὶ ἐν μάστι-
ξι τὰς ἀδικίας αὐτῶν.
Τὸ δὲ ἔλεός μου οὐ μὴ διασκε-
δάσω ἀπ' αὐτῶν. οὐδὲ μὴ ἀ-

Et ueritas mea & miseri
cordia mea cum eo. & in no
mine meo exaltabitur cor
nu eius.
Et ponam in mari ma-
nū eius & ī fluminibus dexteram
eius.
Ipse inuocabit me pa
ter meus es tu. deus meus & susce
ptor salutis meæ.
Et ego primogenitum ponam e-
um excelsum præ regi
bus terræ.
In sæculum seruabo ei
misericordiam mea. & testamentū
meū fidele ei.
Et thronum eius sicut
dies cæli.
Si dereliquerint filii e-
ius legem meā & in
iudiciis meis non ambulauerint.
Si iustitias meas propha
nauerint & mandata mea
non custodierint.
Visitabo in uirga ini-
quitates eorum. & in uerbe-
ribus iniustitias eorum.
Sed misericordiam meā non dissi-
pabo ab eis. neq; noce

δικήσω ἐν τῇ ἀληθείᾳ μου.
Οὐδὲ μὴ βεβηλώσω τὴν δια-
θήκην μου. καὶ τὰ ἐκ πορευόμε
να διὰ τῶν χειλέων μου οὐ μὴ
ἀθετήσω.
Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου
εἰ τῷ Δαυὶδ ψεύσομαι. τὸ
σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα
μενεῖ.
Καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος
ἐναντίον μου. καὶ ὡς ἡ σελήνη
κατηρτισμένη εἰς τὸν αἰῶνα
καὶ ὁ μάρτυς ἐν οὐρανῷ πι-
στός.
Σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας
ἀνεβάλου τὸν χριστόν σου.
Κατέστρεψας τὴν διαθήκην
τοῦ δούλου σου. ἐβεβήλωσας εἰς
τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ.
Καθεῖλες πάντας τοὺς φραγ-
μοὺς αὐτοῦ. ἔθου τὰ ὀχυρώ-
ματα αὐτοῦ δειλίαν.
Διήρπαζον αὐτὸν πάντες οἱ
διοδεύοντες ὁδόν. ἐγενήθη ὄ-
νειδος τοῖς γείτοσιν αὐτοῦ.
Ὕψωσας δεξιὰν τῶν θλιβόν-
των αὐτόν. εὔφρανας πάντας
τοὺς ἐχθροὺς αὐτοῦ.
Ἀπέστρεψας τὴν βοήθειαν τῆς

bo in ueritate mei.
Neque profanabo testa
mentum mei. & proceden
tia per labia mei non
irritabo.
Semel iuraui in sancto mei
si dauid mentiar
semen eius in æternum
manet.
Et solium eius sicut sol
coram me. & sicut luna
perfecta in sæculum
& testis in cælo fi
delis.
Tu autem reppulisti & destruxisti
distulisti christum tui.
Euertisti testamentum
serui tui. profanasti in
terram sanctuarium eius.
Destruxisti omnes se
pes eius. posuisti munitio-
nes eius formidinem.
Diripiebant eum omnes
prætereuntes uiam. factus est ob
probrium uicinis eius.
Exaltasti dexteram tribulan-
tium eum. lætificasti omnes
inimicos eius.
Auertisti adiutorium

ῥομφαίας αὐτοῦ. καὶ οὐκ ἀν-
τελάβου αὐτοῦ ἐν τῷ πολέ-
μῳ.
Κατέλυσας ἀπὸ καθαρισμοῦ
αὐτοῦ. τὸν θρόνον αὐτοῦ εἰς
τὴν γῆν κατήραξας.
Ἐσμίκρυνας τὰς ἡμέρας τοῦ
χρόνου αὐτοῦ. κατέχεας αὐ-
τὸν αἰσχύνην.
Ἕως πότε ἀποστρέφῃ κύριε εἰς
τέλος. ἐκκαυθήσεται ὡς πῦρ
ἡ ὀργή σου.
Μνήσθητι τίς μου ἡ ὑπόστασις.
μὴ γὰρ ματαίως ἔκτισας πάν-
τας τοὺς υἱοὺς ἀνθρώπων.
Τίς ἐστιν ἄνθρωπος ὃς ζήσεται
καὶ οὐκ ὄψεται θάνατον. ῥύ-
σεται τὴν ψυχὴν αὐτοῦ ἐκ
χειρὸς ᾅδου.
Ποῦ εἰσὶ τὰ ἐλέη σου τὰ ἀρχαῖ-
α κύριε. ἃ ὤμοσας τῷ Δαυὶδ
ἐν τῇ ἀληθείᾳ σου.
Μνήσθητι κύριε τοῦ ὀνειδισμοῦ
τῶν δούλων σου, οὗ ὑπέσχον
ἐν τῷ κόλπῳ μου πολλῶν ἐ-
θνῶν.
Οὗ ὠνείδισαν οἱ ἐχθροί σου κύ-
ριε. οὗ ὠνείδισαν τὸ ἀντάλ-
λαγμα τοῦ χριστοῦ σου.

gladii eius. & non auxilia
tus es ei in bel-
lo.
Dissoluisti ab emundatione
eius. sedem eius in
terram collisisti.
Minuisti dies
temporis eius. perfudisti e-
um confusione.
Vsquequo domine auertis in
finem exardescet sicut ignis
ira tui.
Recordare quæ mei substantia.
nunquid enim frustra condidisti o
mnes filios hominum.
Quis est homo qui uiuet
& non uidebit mortem. eru-
et animam eius ex
manu inferni.
Vbi sunt misericordiæ tui anti
quæ domine. quas iurasti Dauid
in ueritate tui.
Memento domine obprobrii
seruorum tui. quod sustinui
in sinu mei multarum gen-
tium.
Quod exprobrauerunt inimici tui
domine quod exprobrauerunt cõ-
mutationem christi tui.

εὐλογητὸς κύριος εἰς τὸν αἰῶνα
γένοιτο γένοιτο.

Δό. προσευχὴ μωυσῆ ἀνθρώ-
που θεοῦ. πθ.

Κ ύριε καταφυγὴ ἐγενήθης
ἡμῶν. ἐν γενεᾷ καὶ γε-
νεᾷ.
Πρὸ τοῦ ὄρη γενηθῆναι καὶ πλα-
σθῆναι τὴν γῆν καὶ τὴν οἰκουμέ-
νην. καὶ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως
τοῦ αἰῶνος σὺ εἶ.
Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς τα-
πείνωσιν. καὶ εἶπας ἐπιστρέψα-
τε υἱοὶ τῶν ἀνθρώπων.
Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς
σοῦ κύριε ὡσεὶ ἡμέρα ἡ χθὲς ἥτις
διῆλθε, καὶ φυλακὴ ἐν νυκτὶ καὶ
ἐξουδενώματα αὐτῶν ἔτη ἔ-
σονται.
Τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι
τὸ πρωῒ ἀνθήσαι καὶ παρέλθοι
τὸ ἑσπέρας, ἀποπέσοι σκληρυν-
θείη καὶ ξηρανθείη.
Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ
σου. καὶ ἐν τῷ θυμῷ σου ἐταρά-
χθημεν.
Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναν

Benedictus dominus in sæculum.
fiat fiat.

Gloria. Oratio Moysi homi-
ni dei. lxxxviiii.

d omine refugium factus es
nostrũ. ĩ generatione & ge-
neratione.
Ante montes fieri & for-
mari terram & or-
bem & a sæculo usq;
sæculum tu es.
Ne auertas hominem in humili-
tatem. & dixisti conuertimi-
ni filii hominum.
Quoniã mille anni in oculis
tui domine sicut dies heri quæ
præteriit & custodia ĩ nocte &
nihil eorum anni e-
runt.
Mane sicut herba transeat.
mane floreat & pertranseat
uespere decidat indu-
ret & arescat.
Quoniam defecimus in ira.
tui. & in furore tuo turba-
ti sumus.
Posuisti iniquitates nostrum co

τίον σου. ὁ αἰὼν ἡμῶν εἰς φω-
τισμὸν τοῦ προσώπου σου.
Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέ-
λιπον. καὶ ἐν τῇ ὀργῇ σου ἐξελί-
πομεν.
Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμε-
λέτων. αἱ ἡμέραι τῶν ἐτῶν ἡ-
μῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔ-
τη.
Ἐὰν δὲ ἐν δυναστείαις ὀγδοή-
κοντα ἔτη. καὶ τὸ πλεῖον αὐτῶν
κόπος καὶ πόνος.
Ὅτι ἐπῆλθε πραότης ἐφ' ἡμᾶς.
καὶ παιδευθησόμεθα.
Τίς γινώσκει τὸ κράτος τῆς ὀρ-
γῆς σου. καὶ ἀπὸ τοῦ φόβου
σου τὸν θυμόν σου ἐξαριθμή-
σασθαι.
Τὴν δεξιάν σου οὕτως γνώρισόν
μοι. καὶ τοὺς πεπεδημένους
τῷ καρδίαν ἐν σοφίᾳ.
Ἐπίστρεψον κύριε ἕως πότε. καὶ
παρακλήθητι ἐπὶ τοῖς δού-
λοις σου.
Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐ-
λέους σου. καὶ ἠγαλλιασάμεθα
καὶ εὐφράνθημεν.
Ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν
εὐφράνθημεν ἀνθ' ὧν ἡμερῶν ἐ-

ram te. sæculum nostrum in illu
minationem uultus tui.
Quoniã omnes dies nostrum defe
cerunt & in ira tui defeci-
mus.
Anni nostrum sicut aranea medi
tabantur. dies annorum no
strum in ipsis septuaginta an-
ni.
Si autem in potentatibus octua
ginta anni. & amplius eorũ
labor & dolor.
Quoniã superuenit mãsuetudo su
per nos. & corripiemur.
Quis cognoscit potestatem i-
ræ tui. & a timore
tui iram tui dinumera
re.
Dexteram tui sic notifica
mihi. & compeditos
cor in sapientia.
Conuertere domine usquequo. &
deprecare super ser-
uos tui.
Impleti sumus mane miseri-
cordiæ tui. & exultauimus.
& lætati sumus.
In omnibus diebus nostrum
lætati sumus pro quibus diebus hu

ταπείνωσας ἡμᾶς ἐτῶν ὧν ἴ-	miliaſti nos. annis quibus uidi-
δομεν κακά.	mus mala.
Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου	Et uide ſuper ſeruos tui.
καὶ ἐπὶ τὰ ἔργα σου καὶ	& in opera tui &
ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.	deduc filios eorum.
Καὶ ἔστω ἡ λαμπρότης κυρίου	Et ſit ſplendor domini
τοῦ θεοῦ ἡμῶν ἐφ' ἡμᾶς. καὶ	dei noſtrum ſuper nos. &
τὰ ἔργα τῶν χειρῶν ἡμῶν κα-	opera manuum noſtrum di-
θεύθυνον ἐφ' ἡμᾶς. καὶ τὸ ἔργον	rige ſuper nos. & opus
τῶν χειρῶν ἡμῶν κατεύθυ-	manuum noſtrum di-
νον.	rige.
Ἀνεπίγραφος παρ' Ἑβραίοις.	Sine titulo apud hebræos.
ὡς δὲ ἕτεροι αἶνος ᾠδῆς.	ut autem cæteri laus cantici.
ϙ.	lxxxx.
Ὁ κατοικῶν ἐν βοηθείᾳ	h abitans in adiutorio
τοῦ ὑψίστου. ἐν σκέπῃ	altiſſimi. in protectione
τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλισθή-	dei cæli commora-
σεται.	bitur.
Ἐρεῖ τῷ κυρίῳ ἀντιλήπτωρ	Dicet domino ſuſceptor
μου εἶ καὶ καταφυγή μου ὁ θε-	mei es & refugium mei de-
ός μου ἐλπιῶ ἐπ' αὐτόν.	us mei ſperabo in eum.
Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγί-	Quoniam ipſe liberabit te ex la-
δος θηρευτῶν. ἀπὸ λόγου ταρα-	queo uenatorum. a uerbo
χώδους.	aſpero.
Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐ-	In ſcapulis eius obum-
πισκιάσει σοι. καὶ ὑπὸ τὰς πτέ-	brabit tibi. & ſub pen-
ρυγας αὐτοῦ ἐλπιεῖς.	nis eius ſperabis.

Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια	Scuto circundabit te ueritas
αὐτοῦ. οὐ φοβηθήσῃ ἀπὸ	eius non timebis a
φόβου νυκτερινοῦ.	timore nocturno.
Ἀπὸ βέλους πετομένου ἡμέ	A sagitta uolante di
ρας, ἀπὸ πράγματος ἐν σκό	eia negotio in tene
τει διαπορευομένου, ἀπὸ	bra perambulante a
συμπτώματος καὶ δαιμονίου	ruina & dæmonio
μεσημβρινοῦ.	meridiano.
Πεσεῖται ἐκ τοῦ κλίτους σου	Cadent a latere tuo
χιλιὰς καὶ μυριὰς ἐκ δεξιῶν	mille. & decem milia a dextris
σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ.	tuis, ad te aũt non appropinquabit.
Πλὴν τοῖς ὀφθαλμοῖς σου κα	Veruntamen oculis tuis conside
τανοήσεις. καὶ ἀνταπόδοσιν	rabis. & retributionem
ἁμαρτωλῶν ὄψει.	peccatorum uidebis.
Ὅτι σὺ κύριε ἡ ἐλπίς μου. τὸν	Quoniam tu domine spes mea
ὕψιστον ἔθου καταφυγήν σου.	altissimum posuisti refugium tuũ
Οὐ προσελεύσεται πρὸς σὲ κα	Non accedet ad te ma
κά. καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ	lũ. & flagellũ non appropinquabit
σκηνώματί σου.	tabernaculo tuo.
Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖ	Quoniã angelis eius manda-
ται περὶ σοῦ. τοῦ διαφυλάξαι	bit de te. custodire
σε ἐν πάσαις ταῖς ὁδοῖς σου.	te in omnibus uiis tuis.
Ἐπὶ χειρῶν ἀροῦσί σε. μήπο	In manibus tollent te ne un
τε προσκόψῃς πρὸς λίθον τὸν	quam offendas ad lapidem
πόδα σου.	pedem tuũ.
Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐ-	Super aspidem & basiliscum ambu
πιβήσῃ. καὶ καταπατήσεις λέ	labis & conculcabis le
οντα καὶ δράκοντα.	onem & draconem.
Ὅτι ἐπ' ἐμὲ ἤλπισε καὶ ῥύσο	Quoniam in me sperauit & libe

μαι αὐτόν. σκεπάσω αὐτὸν ὅ
τι ἔγνω τὸ ὄνομά μου.
Κεκράξεται πρός με καὶ ἐπα-
κούσομαι αὐτοῦ μετ᾽ αὐτοῦ εἰ-
μὶ ἐν θλίψει, ἐξελοῦμαι αὐτόν.
καὶ δοξάσω αὐτόν.
Μακρότητα ἡμερῶν ἐμπλή-
σω αὐτόν. καὶ δείξω αὐτῷ τὸ
σωτήριόν μου.

Δό. κάθ. ιβ. Ψαλμὸς ᾠδῆς εἰς
ἡμέραν σαββάτου.

α Γαθὸν τὸ ἐξομολογεῖσθαι
τῷ κυρίῳ. καὶ ψάλλειν
τῷ ὀνόματί σου ὕψιστε.
Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλε-
ός σου. καὶ τὴν ἀλήθειάν σου
κατὰ νύκτα.
Ἐν δεκαχόρδῳ ψαλτηρίῳ μετ᾽
ᾠδῆς ἐν κιθάρᾳ.
Ὅτι εὔφρανάς με κύριε ἐν τῷ
ποιήματί σου. καὶ ἐν τοῖς ἔρ-
γοις τῶν χειρῶν σου ἀγαλλιά-
σομαι.
Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου
κύριε. σφόδρα ἐβαθύνθησαν
οἱ διαλογισμοί σου.
Ἀνὴρ ἄφρων οὐ γνώσεται. καὶ

rabo eum. protegam eum quoni-
am cognouit nomen mei.
Clamabit ad me & exaudi-
am eum. cum ipso
sum in tribulatione eripiam eum
& glorificabo eum.
Longitudine dierum imple
bo eum. & ostendam ei
salutare mei.

Gloria. sessio. xii. psalmus cātici ī
diem sabbati.

b onum confiteri
domino. & psallere
nomini tuo altissime.
Annuntiare mane miseri
cordiam tuam. & ueritatem tuam
per noctem.
In decachordo psalterio
cum cantico in cithara.
Quoniam lætificasti me domine
in opere tuo. & in ope
ribus manuum tuarum exul
tabo.
Quā magnificata sunt opera tua
domine. nimis profundæ factæ sūt
cogitationes tuæ.
Vir insipiens non cognoscet. &

ἀσύνετος οὐ συνήσει ταῦτα.
Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς
ὡσεὶ χόρτον. καὶ διέκυψαν πάν-
τες οἱ ἐργαζόμενοι τὴν ἀνομί-
αν.
Ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς
τὸν αἰῶνα τοῦ αἰῶνος. σὺ δὲ
ὕψιστος εἰς τὸν αἰῶνα κύριε.
Ὅτι ἰδοὺ οἱ ἐχθροί σου κύριε.
ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἀπο-
λοῦνται καὶ διασκορπισθήσον-
ται πάντες οἱ ἐργαζόμενοι
τὴν ἀνομίαν.
Καὶ ὑψωθήσεται ὡς μονοκέρω-
τος τὸ κέρας μου. καὶ τὸ γῆρας
μου ἐν ἐλαίῳ πίονι.
Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου
ἐν τοῖς ἐχθροῖς μου. καὶ ἐν τοῖς
ἐπανισταμένοις ἐπ' ἐμὲ πονη-
ρευομένοις ἀκούσεται τὸ οὖς
μου.
Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.. ὡ-
σεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πλη-
θυνθήσεται.
Πεφυτευμένοι ἐν τῷ οἴκῳ κυρί-
ου ἐν ταῖς αὐλαῖς τοῦ θεοῦ ἡ-
μῶν ἐξανθήσουσι.
Ἔτι πληθυνθήσονται ἐν γήρει
πίονι καὶ εὐπαθοῦντες ἔσον-

ſtultus non intelliget hæc.
In exoriri peccatores
ſicut foenum & proſpexerunt o-
mnes operantes iniqui-
tatem.
Vt diſperdantur in
ſæculum ſæculi. tu autem
altiſſimus in æternum domine
Quoniam ecce inimici tui domine.
quoniam ecce inimici tui peri-
bunt. & diſpergen-
tur omnes operantes
iniquitatem.
Et exaltabitur ſicut unicor
nis cornu mei. & ſenectus
mei in oleo pingui. .miſericordia uberi.
Et deſpexit oculus mei
in inimicis mei. & inter
inſurgentes in me malignan
tes audiet auris
mei.
Iuſtus ut palma florebit. ſi
cut cedrus in libano multi-
plicabitur.
Plantati in domo do
mini. in atriis dei no
ſtrum florebunt.
Adhuc multiplicabuntur in ſenecta
uberi & bene patientes e-

ται τοῦ ἀμαρτάνειν.
ὅτι εὐθὺς κύριος ὁ θεὸς ἡμῶν.
καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

εἰς τὴν ἡμέραν τοῦ προσαβ-
βάτου ὅτε κατῴκισται ἡ γῆ αἶ-
νος ᾠδῆς τῷ Δαυὶδ ἀνεπίγρα
φος παρ' ἑβραίοις. ϙβ.

ὁ κύριος ἐβασίλευσεν
εὐπρέπειαν ἐνεδύσατο
ἐνεδύσατο κύριος δύναμιν καὶ
περιεζώσατο.
Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμέ
νην, ἥτις οὐ σαλευθήσεται.
ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε.
ἀπὸ τοῦ αἰῶνος σὺ εἶ.
ἐπῆραν οἱ ποταμοὶ κύριε. ἐπῆ-
ραν οἱ ποταμοὶ φωνὰς αὐτῶν.
ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις
αὐτῶν. ἀπὸ φωνῶν ὑδάτων
πολλῶν.
θαυμαστοὶ οἱ μετεωρισμοὶ θα-
λάσσης. θαυμαστὸς ἐν ὑψηλοῖς
ὁ κύριος.
Τὰ μαρτύριά σου ἐπιστώθησαν
σφόδρα. τῷ οἴκῳ σου πρέπει
ἁγίασμα κύριε εἰς μακρότη
τα ἡμερῶν.

runt annuntiare.
Quoniã rectus dominus deus noster
& non est iniquitas in eo.

In diem ante sab-
bati. quando fundata est terra
laus cantici dauid sine titu-
lo apud hebræos. lxxxxii.

d ominus regnauit
decorem induit.
induit dominus uirtutem &
precinxit.
Et enim firmauit or
bem qui non commouebitur
Parata sedes tui ex tunc.
a sæculo tu es.
Eleuauerunt flumina domine. ele-
uauerũt flumina uoces eorum.
Eleuabunt flumina contritiones
eorum. a uocibus aquarum
multarum.
Mirabiles elationes ma
ris. mirabilis in altis
dominus.
Testimonia tui credibilia facta sũt
nimis. domui tui decet
sanctitudo domine in longitu-
dinem dierum.

Ψαλμὸς τὸ Δαυὶδ τετράδι σαββάτου. ϙγ.

Θεὸς ἐκδικήσεων κύριος. θεὸς ἐκδικήσεων ἐπαρρησιάσατο.

Ὑψώθητι ὁ κρίνων τὴν γῆν. ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις.

Ἕως πότε ἁμαρτωλοὶ κύριε. ἕως πότε ἁμαρτωλοὶ καυχήσονται;

Φθέγξονται λαλήσουσιν ἀδικίαν. λαλήσουσι πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Τὸν λαόν σου κύριε ἐταπείνωσαν. καὶ τὴν κληρονομίαν σου ἐκάκωσαν.

Χήραν καὶ ὀρφανὸν ἀπέκτειναν καὶ προσήλυτον ἐφόνευσαν.

Καὶ εἶπον οὐκ ὄψεται κύριος. οὐδὲ συνήσει ὁ θεὸς τοῦ Ἰακώβ.

Σύνετε δὴ ἄφρονες ἐν τῷ λαῷ. καὶ μωροὶ ποτὲ φρονήσατε.

Ὁ φυτεύσας τὸ οὖς οὐχὶ ἀκούει. ἢ ὁ πλάσας τὸν ὀφθαλμὸν οὐχὶ κατανοεῖ;

Psalmus Dauid quarta sabbati. lxxxxiii.

Deus ultionum dominus: deus ultionum libere egit.

Exaltare iudicans terram. redde retributionem superbis.

Vsquequo peccatores domine. usque quo peccatores gloriabuntur?

Pronuntiabunt & loquentur iniusticiam. loquentur omnes operantes iniquitatem.

Populum tuum domine humiliauerunt. & hæreditatem tuam uexauerunt.

Viduam & pupillum occiderunt: & aduenam interfecerunt.

Et dixerunt non uidebit dominus: neque intelliget deus Iacob.

Intelligite insipientes in populo. & stulti aliquando sapite.

Qui plantauit aurem non audit. aut qui finxit oculum non considerat?

Ὁς παιδεύων ἔθνη οὐχὶ ἐλέγξει. ὁ
διδάσκων ἄνθρωπον γνῶσιν.
Κύριος γινώσκει τοὺς διαλογι-
σμοὺς τῶν ἀνθρώπων ὅτι εἰσὶ
μάταιοι.
Μακάριος ἄνθρωπος ὃν ἂν παι-
δεύσης κύριε. καὶ ἐκ τοῦ νόμου
σου διδάξης αὐτόν.
Τοῦ πραῦναι αὐτὸν ἀφ᾽ ἡμερῶν
πονηρῶν. ἕως οὗ ὀρυγῇ
τῷ ἁμαρτωλῷ βόθρος.
Ὅτι οὐκ ἀπώσεται κύριος τὸν
λαὸν αὐτοῦ. καὶ τὴν κληρονο-
μίαν αὐτοῦ οὐκ ἐγκαταλείψει.
Ἕως οὗ δικαιοσύνη ἐπιστρέψει
εἰς κρίσιν καὶ ἐχόμενοι αὐτῆς
πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.
Τίς ἀναστήσεταί μοι ἐπὶ πονη-
ρευομένους. ἢ τίς συμπαραστήσε-
ταί μοι ἐπὶ τοὺς ἐργαζομένους
τὴν ἀνομίαν.
Εἰ μὴ ὅτι κύριος ἐβοήθησέ μοι
παραβραχὺ παρῴκησε τῷ
ᾅδῃ ἡ ψυχή μου.
Εἰ ἔλεγον σεσάλευται ὁ πούς
μου. τὸ ἔλεός σου κύριε ἐβοή-
θει μοι.
Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν
μου ἐν τῇ καρδίᾳ μου. αἱ πα-

Qui corripit gentes non arguet
docens hominem scientiam.
Dominus nouit cogitatio-
nes hominum quoniam sunt
uanæ.
Beatus homo quem eru-
dieris domine. & ex lege
tui docueris eum.
Vt mitiges eum a diebus
malis, donec fodiatur
peccatori fouea.
Quoniam non repellet dominus
plebem eius. & hæredita-
tem eius non relinquet.
Donec iusticia conuertatur
in iudicium. & continentes eam
omnes recti corde.
Quis resurget mihi aduersus mali-
gnantes. aut quis consi-
stet mihi aduersus operantes
iniquitatem?
Nisi quia dominus adiuuit me
paulo minus habitasset iuxta
infernum anima mei.
Si dicebam motus est pes
mei. misericordia tui domine adiu-
uabat me.
Secundum multitudinem dolorum
mei in corde mei. consola-

iudicium et sequēt[illegible] ōēs recti corde.

ρακλήσεις σου εὔφραναν τὴν
ψυχήν μου.
Μὴ συμπροσέστω σοι θρόνος ἀ-
νομίας. ὁ πλάσσων κόπον ἐπὶ
πρόσταγμα.
Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαί-
ου. καὶ αἷμα ἀθῷον καταδικά-
σονται.
Καὶ ἐγένετό μοι κύριος εἰς κατα-
φυγήν. καὶ ὁ θεός μου εἰς βοη-
θὸν ἐλπίδος μου.
Καὶ ἀποδώσει αὐτοῖς κύριος
τὴν ἀνομίαν αὐτῶν. καὶ κατὰ
τὴν πονηρίαν αὐτῶν ἀφανιεῖ
αὐτοὺς κύριος ὁ θεός.

ϞΔ΄. Αἶνος ᾠδῆς τῷ Δαυὶδ
ἀνεπίγραφος παρ᾽ Ἑβραίοις.
.ϟδ.

Δ εῦτε ἀγαλλιασώ-
μεθα τῷ κυ-
ρίῳ. ἀλαλάξωμεν τῷ θεῷ
τῷ σωτῆρι ἡμῶν.
Προφθάσωμεν τὸ πρόσωπον
αὐτοῦ ἐν ἐξομολογήσει. καὶ ἐν
ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ.
Ὅτι θεὸς μέγας κύριος καὶ βα-
σιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν

tiones tui lætificauerunt
animam mei.
Non adhæreat tibi sedes ini-
quitatis. fingens laborem in
præceptum.
Captabunt in animam iu-
sti. & sanguinem innocentem cō-
demnabunt.
Et factus est mihi dominus in refu-
gium. & deus mei in adiuto-
rem spei mei.
Et reddet eis dominus
iniquitatem eorum. & secundum
nequitiam eorum delebit
eos dominus deus.

Gloria. Laus cantici Dauid
sine titulo apud hebræos.
.lxxxxiiii.

U enite exul-
temus do-
mino. iubilemus deo
salutari nostrum.
Præoccupemus faciem
eius in confessione. & in
psalmis iubilemus ei.
Quoniam deus magnus dominus &
rex magnus super omnem

ϛὴν.
Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς. καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσί.
Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα καὶ αὐτὸς ἐποίησεν αὐτήν. καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ. καὶ κλαύσωμεν ἐναντίον κυρίου τοῦ ποιήσαντος ἡμᾶς.
Ὅτι αὐτός ἐστιν ὁ θεὸς ἡμῶν. καὶ ἡμεῖς λαὸς αὐτοῦ καὶ πρόβατα χειρὸς αὐτοῦ.
Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε. μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν.
Ὡς ἐν παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ.
Οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν. ἐδοκίμασάν με καὶ εἶδον τὰ ἔργα μου.
Τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ. καὶ εἶπα ἀεὶ πλανῶνται τῇ καρδίᾳ.
Αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου ὡς ὤμοσα ἐν τῇ ὀρ-

terram.
Quoniam in manu eius fines terrae. & altitudines montium eius sunt.
Quoniam ipsius est mare & ipse fecit illud. & aridam manus eius formauerunt.
Venite adoremus & procidamus ei. & ploremus coram domino qui fecit nos.
Quoniam ipse est deus nostrum & nos populus eius & oues manus eius.
Hodie si uocem eius audieritis. non obdurate corda uestrum
Sicut in exacerbatione secundum diem temptationis in deserto.
Vbi temptauerunt me patres uestrum. probauerunt me & uiderunt opera mei.
Quadraginta annos fui pximus generationi illi & dixi semper errant corde.
Ipsi autem non cognouerunt uias mei sicut iuraui in i-

o ii

γῆ μου. εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

ra mei. si introibunt in requiem mei.

Αἶνος ᾠδῆς τῷ δαυὶδ ὅτε οἶκος ᾠκοδομήθη μετὰ τὴν αἰχμαλωσίαν, ἀνεπίγραφος παρ᾽ ἑβραίοις. ϙε.

Laus cantici Dauid quando domus ædificata est post captiuitatem sine titulo apud hebræos. lxxxxv.

ᾌ σατε τῷ κυρίῳ ᾆσμα καινόν. ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ.
ᾌσατε τῷ κυρίῳ εὐλογήσατε τὸ ὄνομα αὐτοῦ. εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ.
Ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ. ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ.
Ὅτι μέγας κύριος καὶ αἰνετὸς σφόδρα. φοβερός ἐστιν ὑπὲρ πάντας τοὺς θεούς.
Ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια. ὁ δὲ κύριος τοὺς οὐρανοὺς ἐποίησεν.
Ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτοῦ. ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ.

C antate domino canticum nouum. cantate domino omnis terra.
Cantate domino benedicite nomen eius. annunciate die ex die salutare eius.
Annunciate in gentibus gloriam eius. in omnibus populis mirabilia eius.
Quoniam magnus dominus & laudabilis nimis. terribilis est super omnes deos.
Quoniam omnes dii gentium dæmonia. sed dominus cælos fecit.
Confessio & pulchritudo coram eo. sanctimonia & magnificentia in sanctificatione eius.

ἐνέγκατε τῷ κυρίῳ αἱ πατρι-
αὶ τῶν ἐθνῶν. ἐνέγκατε τῷ
κυρίῳ δόξαν καὶ τιμήν. ἐνέγ
κατε τῷ κυρίῳ δόξαν ὀνό-
ματι αὐτοῦ.
Ἄρατε θυσίας καὶ εἰσπορεύ
εσθε εἰς τὰς αὐλὰς αὐτοῦ.
προσκυνήσατε τῷ κυρίῳ
ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.
Σαλευθήτω ἀπὸ προσώπου
αὐτοῦ πᾶσα ἡ γῆ. εἴπατε
ἐν τοῖς ἔθνεσιν ὅτι ὁ κύριος
ἐβασίλευσεν.
Καὶ γὰρ κατώρθωσε τὴν οἰκου
μένην, ἥτις οὐ σαλευθήσε
ται. κρινεῖ λαοὺς ἐν εὐθύτη
τι.
Εὐφραινέσθωσαν οἱ οὐρανοὶ
καὶ ἀγαλλιάσθω ἡ γῆ. σαλευ
θήτω ἡ θάλασσα καὶ τὸ
πλήρωμα αὐτῆς. χαρήσε
ται τὰ πεδία καὶ πάντα τὰ
ἐν αὐτοῖς.
Τότε ἀγαλλιάσεται πάντα
τὰ ξύλα τοῦ δρυμοῦ ἀπὸ
προσώπου κυρίου ὅτι ἔρχε
ται ὅτι ἔρχεται κρῖναι τὴν
γῆν.
Κρινεῖ τὴν οἰκουμένην ἐν δι

Afferte domino fami-
liæ gentium. afferte
domino gloriam & honorem. affer
te domino gloriam nomi-
ni eius.
Tollite hostias & intro
ite in atria eius.
adorate dominum
in atrio sancto eius.
Commoueatur a facie
eius uniuersa terra. dicite
in gentibus quia dominus
regnauit.
Et enim correxit or
bem qui non commoue-
bitur. iudicabit populos in æqui
tate.
Lætentur cæli
& exultet terrra. mo
ueatur mare &
plenitudo eius. gaude
bunt campi & omnia
in eis.
Tunc exultabunt omnia
ligna siluæ a
facie domini quoniam ue
nit quoniam uenit iudicare
terram.
Iudicabit orbem in iu

καιοσύνῃ. καὶ λαοὺς ἐν τῇ
ἀληθείᾳ αὐτοῦ.

Ψαλμὸς τῷ Δαυὶδ ὅτε
ἡ γῆ αὐτοῦ καθίστατο, ἀ-
νεπίγραφος παρ' Ἑβραίοις
. ϙϛ .

Ὁ κύριος ἐβασίλευσεν
ἀγαλλιάσθω ἡ γῆ εὐφραν-
θήτωσαν νῆσοι πολλαί.
Νεφέλη καὶ γνόφος κύκλῳ
αὐτοῦ. Δικαιοσύνη καὶ κρί-
μα κατόρθωσις τοῦ θρόνου
αὐτοῦ.
Πῦρ ἐνώπιον αὐτοῦ προπο-
ρεύσεται. καὶ φλογιεῖ κύ-
κλῳ τοὺς ἐχθροὺς αὐτοῦ.
Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ
οἰκουμένῃ. εἶδε καὶ ἐσαλεύ-
θη ἡ γῆ.
Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν
ἀπὸ προσώπου κυρίου. ἀπὸ
προσώπου κυρίου πάσης
τῆς γῆς.
Ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δι-
καιοσύνην αὐτοῦ. καὶ ἴδο-
σαν πάντες λαοὶ τὴν δόξαν
αὐτοῦ.

ſticia . & populos in
ueritate eius.

Pſalmus Dauid quando
terra eius reſtituta eſt . ſine
titulo apud hebræos.
. lxxxxvi .

Dominus regnauit
exultet terra . læten-
tur inſulæ multæ .
Nubes & caligo circa
eum . iuſticia . & iudi-
cium correctio ſedis
eius .
Ignis coram eo præ-
cedet . & inflamabit cir-
ca inimicos eius .
Illuxerunt fulgura eius
orbi . uidit & comota
eſt terra .
Montes ſicut cæra liquefacti ſunt
a facie domini a
facie domini omnis
terræ .
Annunciauerunt cæli iuſti-
ciam eius . & uide-
runt omnes populi gloriam
eius.

Αἰσχυνθήτωσαν πάντες οἱ
προσκυνοῦντες τοῖς γλυ-
πτοῖς οἱ ἐγκαυχώμενοι ἐν
τοῖς εἰδώλοις αὐτῶν.
Προσκυνήσατε αὐτῷ πάντες
ἄγγελοι αὐτοῦ. ἤκουσε καὶ εὐ-
φράνθη σιών.
Καὶ ἠγαλλιάσαντο αἱ θυγατέ-
ρες τῆς ἰουδαίας ἕνεκεν
τῶν κριμάτων σου κύριε.
Ὅτι σὺ κύριος ὕψιστος ἐπὶ πᾶ-
σαν τὴν γῆν. σφόδρα ὑπερυ-
ψώθης ὑπὲρ πάντας τοὺς
θεούς.
Οἱ ἀγαπῶντες τὸν κύριον μι-
σεῖτε πονηρόν. φυλάσσει κύρι-
ος τὰς ψυχὰς τῶν ὁσίων αὐ-
τοῦ. ἐκ χειρὸς ἁμαρτωλοῦ
ῥύσεται αὐτούς.
Φῶς ἀνέτειλε τῷ δικαίῳ.
καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ
εὐφροσύνη.
Εὐφράνθητε δίκαιοι ἐν κυρίῳ
καὶ ἐξομολογεῖσθε τῇ μνή-
μῃ τῆς ἁγιωσύνης αὐτοῦ.

Confundantur omnes
adorantes sculptili-
bus. gloriantes in
simulacris eorum.
Adorate ei omnes
angeli eius. audiuit & læta
ta est sion.
Et exultauerunt filiæ
iudææ gratia
iudiciorum tui domine.
Quoniã tu dominus altissimus sup o
mnem terram. nimis superexalta
tus es super omnes
deos.
Diligentes dominum odi
te malum. custodit do
minus animas sanctorum e
ius. ex manu peccatoris
liberabit eos.
Lux orta est iusto
& rectis corde
lætitia.
Lætamini iusti in domino.
& confitemini memo-
riæ sanctificationis eius.

ᾆ σατε τῷ κυρίῳ
ᾆσμα καινὸν
ὅτι θαυμαστὰ
ἐποίησεν ὁ κύ-
ριος.
ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ
καὶ ὁ βραχίων ὁ ἅγιος αὐ-
τοῦ.
ἐγνώρισε κύριος τὸ σωτήριον
αὐτοῦ. ἐναντίον τῶν ἐθνῶν
ἀπεκάλυψε τὴν δικαιοσύ-
νην αὐτοῦ.
ἐμνήσθη τοῦ ἐλέους αὐ
τοῦ ἰακὼβ. καὶ τῆς ἀλη
θείας αὐτοῦ τῷ οἴκῳ ἰσρα
ὴλ.
ἴδοσαν πάντα τὰ πέρατα
τῆς γῆς τὸ σωτήριον τοῦ
θεοῦ ἡμῶν.
ἀλαλάξατε τῷ κυρίῳ πᾶ-
σα ἡ γῆ. ᾄσατε καὶ ἀγαλλι
ᾶσθε καὶ ψάλατε.
ψάλατε τῷ κυρίῳ ἐν κιθά-
ρᾳ ἐν κιθάρᾳ καὶ φωνῇ.
ψαλμοῦ ἐν σάλπιγξιν ἐλα
ταῖς καὶ φωνῇ σάλπιγγος

c antate domino
canticum nouum
quia mirabilia
fecit domi-
nus.
Saluauit eum dextera eius
& brachium sanctum e-
ius.
Notificauit dominus salutare
eius. coram gentibus
reuelauit iusti-
ciam eius.
Recordatus est misericordiæ e-
ius Iacob. & ueritatis
tis eius domui Isra-
el.
Viderunt omnes fines
terræ salutare
dei nostrum.
Iubilate domino o-
mnis terra. cantate & exul-
tate & psallite.
Psallite domino in citha-
ra in cithara & uoce
psalmi in tubis ducti-
libus & uoce tubæ

κερατίνης.
Ἀλαλάξατε ἐνώπιον τοῦ βα-
σιλέως κυρίου σαλευθήτω
ἡ θάλασσα καὶ τὸ πλήρω
μα αὐτῆς, ἡ οἰκουμένη καὶ
πάντες οἱ κατοικοῦντες
ἐν αὐτῇ.
Ποταμοὶ κροτήσουσι χερσὶν
ἐπὶ τὸ αὐτὸ τὰ ὄρη ἀγαλλιά-
σεται ἀπὸ προσώπου κυρί-
ου ὅτι ἔρχεται ὅτι ἥκει κρῖ
ναι τὴν γῆν.
Κρινεῖ τὴν οἰκουμένην ἐν
δικαιοσύνῃ, καὶ λαοὺς ἐν
εὐθύτητι.

cornex.
Iubilate coram re
ge domino moueatur
mare & pleni-
tudo eius orbis &
omnes habitantes
in eo.
Flumina plaudent manibus
simul montes exulta
bunt a facie domi-
ni quoniā uenit quoniā uenit iudi
care terram.
Iudicabit orbem in
iusticia. & populos in
æquitate.

Ψαλμὸς τῷ Δαυὶδ ἀνεπίγρα
φος. ϙη.

Psalmus Dauid sine ti-
tulo. lxxxxviii.

ὁ κύριος ἐβασίλευσεν
ὀργιζέσθωσαν λαοί. ὁ
καθήμενος ἐπὶ τῶν χερουβὶμ
σαλευθήτω ἡ γῆ.
Κύριος ἐν σιὼν μέγας καὶ ὑψη
λὸς ἐστὶν ἐπὶ πάντας τοὺς
λαούς.
ἐξομολογησάσθωσαν τῷ ὀνό
ματί σου τῷ μεγάλῳ, ὅτι φο
βερὸν καὶ ἅγιόν ἐστιν, καὶ

d ominus regnauit
irascantur populi.
sedens super cherubim
moueatur terra.
Dominus in sion magnus & ex-
celsus est super omnes
populos.
Confiteantur no-
mini tui magno. quoniam ter
ribile & sanctum est. &

τιμὴ βασιλέως κρίσιν ἀγα-
πᾷ.
Σὺ ἡτοίμασας εὐθύτητας.
κρίσιν καὶ δικαιοσύνην ἐν Ἰα-
κὼβ σὺ ἐποίησας.
Ὑψοῦτε κύριον τὸν θεὸν ἡμῶν,
καὶ προσκυνεῖτε τῷ ὑποπο-
δίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι
ἅγιόν ἐστιν.
Μωϋσῆς καὶ ἀαρὼν ἐν τοῖς ἱε-
ρεῦσιν αὐτοῦ καὶ σαμουὴλ
ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄ-
νομα αὐτοῦ.
Ἐπεκαλοῦντο τὸν κύριον
καὶ αὐτὸς εἰσήκουεν αὐτῶν.
ἐν στύλῳ νεφέλης ἐλάλει
πρὸς αὐτούς.
Ὅτι ἐφύλασσον τὰ μαρτύρια
αὐτοῦ καὶ τὰ προστάγματα
αὐτοῦ ἃ ἔδωκεν αὐτοῖς.
Κύριε ὁ θεὸς ἡμῶν σὺ ἐπήκου-
ες αὐτῶν. ὁ θεὸς σὺ εὐίλα-
τος ἐγένου αὐτοῖς καὶ ὁ ἐπι-
δικῶν ἐπὶ πάντα τὰ ἐπιτη-
δεύματα αὐτῶν.
Ὑψοῦτε κύριον τὸν θεὸν ἡμῶν
καὶ προσκυνεῖτε εἰς ὄρος ἅ-
γιον αὐτοῦ. ὅτι ἅγιος κύρι-
ος ὁ θεὸς ἡμῶν.

honor regis iudicium dili-
git.
Tu parasti directiones
iudicium & iusticiam in Ia-
cob tu fecisti.
Exaltate dominũ deum nostrum,
& adorate scabel-
lum pedum eius quoniam
sanctum est.
Moyses & Aaron in sa-
cerdotibus eius. & samuel
inter inuocantes no-
men eius.
Inuocabant dominum
& ipse exaudiebat eos.
in columna nubis loquebatur
ad eos.
Quoniam custodiebant testimonia
eius & præcepta
eius quæ dedit eis.
Domine deus nostrum tu exaudi-
ebas eos. deus tu propi-
tius fuisti eis & ulci-
scens in omnes adinuentio-
nes eorum.
Exaltate dominum deum nostrum
& adorate in montem san-
ctum eius. quoniam sanctus do-
minus deus nostrum.

ψαλμὸς τῷ δαυὶδ εἰς ἐξομο
λόγησιν. ϙθ.

ἀ λαλάξατε τῷ κυρίῳ
πᾶσα ἡ γῆ. δουλεύσατε
τῷ κυρίῳ ἐν εὐφροσύνῃ.
εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν
ἀγαλλιάσει.
Γνῶτε ὅτι κύριος αὐτός ἐστιν
ὁ θεὸς ἡμῶν, αὐτὸς ἐποίησεν
ἡμᾶς καὶ οὐχ ἡμεῖς.
Ἡμεῖς δὲ λαὸς αὐτοῦ καὶ πρό-
βατα νομῆς αὐτοῦ.
εἰσέλθετε εἰς τὰς πύλας αὐ-
τοῦ ἐν ἐξομολογήσει. εἰς τὰς
αὐλὰς αὐτοῦ ἐν ὕμνοις.
ἐξομολογεῖσθε αὐτῷ αἰνεῖτε
τὸ ὄνομα αὐτοῦ, ὅτι χρηστὸς
κύριος, εἰς τὸν αἰῶνα τὸ ἔλεος
αὐτοῦ καὶ ἕως γενεᾶς καὶ γε
νεᾶς ἡ ἀλήθεια αὐτοῦ.

psalmus Dauid in confessio-
nem. lxxxxviiii.

i ubilate domino
omnis terra. seruite
domino in lęticia.
Introite coram eo in
exultatione.
Scitote quoniam dominus ipse est
deus nostrum. ipse fecit
nos & non nos.
Nos autem populus eius & o-
ues pascuę eius.
Intrate in portas e
ius in confessione. in
atria eius in hymnis.
Confitemini ei laudate
nomen eius quoniam suauis
dominus. in ęternum misericordia
eius. & usq generationis. & gene
rationis ueritas eius.

ψαλμὸς τῷ δαυὶδ. ρ.

ἔ λεον καὶ κρίσιν
ᾄσομαί σοι κύριε.
ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀ-
μώμῳ πότε ἥξεις πρός με.
Διεπορευόμην ἐν ἀκακίᾳ καρ

Psalmus Dauid. c.

m isericordiam & iudicium
cantabo tibi domine.
Psallam. & intelligam in uia imma
culata quando uenies ad me.
Perambulabam in innocentia cor

δίας μου ἐν μέσῳ τοῦ οἴκου	dis mei, in medio domus
μου.	mei.
Οὐ προετιθέμην πρὸ ὀφθαλ	Non proponebam ante ocu-
μῶν μου πρᾶγμα ἄνομον. ποι	los mei rem iniuſtam. facien-
οῦντας παραβάσεις ἐμίση	tes præuaricationes odi-
σα.	ui.
Οὐκ ἐκολλήθη μοι καρδία	Non adhæſit mihi cor
σκαμβή, ἐκκλίνοντος ἀπ' ἐ-	prauum. declinantis a
μοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσ	me mali non cogno-
κον.	ſcebam.
Τὸν καταλαλοῦντα λάθρα	Detrahentem clam
τὸν πλησίον αὐτοῦ τοῦτον ἐξε	proximū eius. hunc
δίωκον.	perſequebar.
Ὑπερηφάνῳ ὀφθαλμῷ καὶ	Superbo oculo &
ἀπλήστῳ καρδίᾳ τούτῳ οὐ	inſatiabili corde. huic non
συνήσθιον.	comedebam.
Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πι-	Oculi mei ad fi
στοὺς τῆς γῆς τοῦ συγκαθῆσ-	deles terræ conſi
θαι αὐτοὺς μετ' ἐμοῦ· πορευό	dere eos cum me. ambu-
μενος ἐν ὁδῷ ἀμώμῳ οὗ-	lans in uia immaculata
τος μοι ἐλειτούργει.	hic mihi miniſtrabat.
Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκί-	Non habitabat in medio do
ας μου ποιῶν ὑπερηφανίαν.	mui faciens ſuperbiam.
Λαλῶν ἄδικα οὐ κατεύθυνεν	Loquens iniuſta non direxit
ἐνώπιον τῶν ὀφθαλμῶν μου.	coram oculis meis.
Εἰς τὰς πρωΐας ἀπέκτεινον	In matutinas interficiebam
πάντας τοὺς ἁμαρτωλοὺς	omnes peccatores
τῆς γῆς τοῦ ἐξολοθρεῦσαι	terræ. diſperdere
ἐκ πόλεως κυρίου πάντας	ex ciuitate domini omnes

τοὺς ἐργαζομένους τὴν ἀνο
μίαν.

Δό. κάθισμα. ιγ.
Προσευχὴ τῷ πτωχῷ ὅταν ἀ
κηδιάσῃ καὶ ἐναντι κυρίου
ἐκχέῃ τὴν δέησιν αὐτοῦ. ρα.

Κ ύριε εἰσάκουσον τῆς
προσευχῆς μου, καὶ ἡ
κραυγή μου πρός σε ἐλθέτω.
Μὴ ἀποστρέψῃς τὸ πρόσω
πόν σου ἀπ᾽ ἐμοῦ, ἐν ᾗ ἂν ἡ
μέρᾳ θλίβομαι κλῖνον πρός
με τὸ οὖς σου.
Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσω
μαι ταχὺ ἐπάκουσόν μου.
Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ
ἡμέραι μου. καὶ τὰ ὀστᾶ μου
ὡσεὶ φρύγιον συνεφρύγη
σαν.
Ἐπλήγην ὡσεὶ χόρτος καὶ ἐ
ξηράνθη ἡ καρδία μου, ὅτι ἐ
πελαθόμην τοῦ φαγεῖν τὸν
ἄρτον μου.
Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ
μου ἐκολλήθη τὸ ὀστοῦν
μου τῇ σαρκί μου.
Ὡμοιώθην πελεκᾶνι ἐρημι

operantes ini-
quitatem.

Gloria. sessio. xiii.
Oratio pauperi quando anxius
fuerit. & coram domino
effuderit precem eius. ci.

D omine exaudi
orationem mei. &
clamor mei ad te ueniat.
Non auertas fa-
ciem tuam a me. in quacunque di-
e tribulor inclina ad
me aurem tui.
In quacunque die inuoca-
bo uelociter exaudi me.
Quoniam defecerunt sicut fumus
dies mei. & ossa mei . ossa mea sicut cremium ar
sicut sarmentum coarse ; .heb. et ossa mea .q. frixa contabuer
runt.
Percussus sum ut foenum & a-
ruit cor mei. quia o-
blitus sum edere
panem mei.
A uoce gemitus
mei adhæsit os
mei carni mei.
Assimilatus sum pelecani soli

hebr. bubo solitudinis

κῷ. ἐγενήθην ὡσεὶ νυκτικό-
ραξ ἐν οἰκοπέδῳ.
Ἠγρύπνησα καὶ ἐγενόμην ὡς
στρουθίον μονάζον ἐπὶ δώμα-
τος.
Ὅλην τὴν ἡμέραν ὠνείδιζόν
με οἱ ἐχθροί μου. καὶ οἱ ἐ-
παινοῦντές με κατ᾽ ἐμοῦ ὤ-
μνυον.
Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφα-
γον. καὶ τὸ πόμα μου μετὰ
κλαυθμοῦ ἐκίρνων.
Ἀπὸ προσώπου τῆς ὀργῆς σου
καὶ τοῦ θυμοῦ σου ὅτι ἐπά-
ρας κατέρραξάς με.
Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθη-
σαν. κἀγὼ ὡσεὶ χόρτος ἐξηράν-
θην.
Σὺ δὲ κύριε εἰς τὸν αἰῶνα μέ-
νεις. καὶ τὸ μνημόσυνόν σου
εἰς γενεὰν καὶ γενεάν.
Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν
σιών. ὅτι καιρὸς τοῦ οἰκτειρῆ-
σαι αὐτήν, ὅτι ἥκει καιρός.
Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου
τοὺς λίθους αὐτῆς. καὶ τὸν
χοῦν αὐτῆς οἰκτειρήσουσι.
Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ
ὄνομα κυρίου. καὶ πάντες

tario. factus sum sicut nyctico
rax in domicilio.
Vigilaui & factus sum sicut
passer solitarius in te-
cto.
Totam diem exprobrabant
me inimici mei. & lau-
dantes me contra me iura-
bant.
Quia cinerem tanq̃ panem mandu
caui. & poculum meũ cum
fletu miscebam.
A facie iræ tuæ
& indignationis tuæ quia ele
uans allisisti me.
Dies mei sicut umbra declina
uerunt. & ego sicut foenum a
rui.
Tu aũt domine in æternum ma
nebis & memoriale tuũ
in generationem & generationem.
Tu exurgens misereberis
sion. quia tempus miseren-
di eius quia uenit tempus.
Quoniam probauerunt serui tui
lapides eius. &
puluerem eius miserabuntur.
Et timebunt gentes
nomen domini. & omnes

οἱ βασιλεῖς τῆς γῆς τὴν δό	reges terræ glo-
ξαν σου.	riam tui .
Ὅτι οἰκοδομήσει κύριος τὴν	Quoniam ædificabit dominus
σιών. καὶ ὀφθήσεται ἐν τῇ	sion . & uidebitur in
δόξῃ αὐτοῦ.	gloria eius .
ἐπέβλεψεν ἐπὶ τὴν προσευ	Respexit in oratio
χὴν τῶν ταπεινῶν. καὶ οὐκ	nem humilium . & non
ἐξουδένωσε τὴν δέησιν αὐ	despexit precem eo-
τῶν.	rum .
Γραφήτω αὕτη εἰς γενεὰν ἑτέ	Scribatur hæc in generationem al
ραν. καὶ λαὸς ὁ κτιζόμενος	teram . & populus qui creatur
αἰνέσει τὸν κύριον.	laudabit dominum .
Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου	Quoniam respexit ex excelso sancto
αὐτοῦ. κύριος ἐξ οὐρανοῦ ἐπὶ	eius . dominus de cælo in
τὴν γῆν ἐπέβλεψε.	terram aspexit .
Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ	Audire gemitus
τῶν πεπεδημένων τοῦ λῦ	compeditorum sol
σαι τοὺς υἱοὺς τῶν τεθανα	uere filios inter
τωμένων.	emptorum .
Τοῦ ἀναγγεῖλαι ἐν σιὼν τὸ ὄ	Annuntiare in sion no
νομα κυρίου. καὶ τὴν αἴνε	men domini . & lau
σιν αὐτοῦ ἐν ἱερουσαλήμ.	dem eius in hierusalem .
Ἐν τῷ ἐπισυναχθῆναι λαοὺς	In congregari populos
ἐπὶ τὸ αὐτό. καὶ βασιλεῖς	in unum . & reges
τοῦ δουλεύειν τῷ κυρίῳ.	seruire domino .
Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος	Respondit ei in uia uirtutis
αὐτῶν. τὴν ὀλιγότητα τῶν	suæ . paucitatem
ἡμερῶν μου ἀνάγγειλόν μοι.	dierum mei nuntia mihi .

Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμε
ρῶν μου. ἐν γενεᾷ γενεῶν τὰ ἔ-
τη σου.

Κατ᾽ ἀρχὰς σὺ κύριε τὴν γῆν ἐ-
θεμελίωσας. καὶ ἔργα τῶν χει-
ρῶν σου εἰσὶν οἱ οὐρανοί.

Αὐτοὶ ἀπολοῦνται σὺ δὲ δια
μένεις καὶ πάντες ὡς ἱμάτι
ον παλαιωθήσονται

Καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις
αὐτοὺς καὶ ἀλλαγήσονται. σὺ
δὲ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου
οὐκ ἐκλείψουσιν.

Οἱ υἱοὶ τῶν δούλων σου κατα
σκηνώσουσι. καὶ τὸ σπέρμα αὐ
τῶν εἰς τὸν αἰῶνα κατευθυν
θήσεται.

Ψαλμὸς τῷ Δαυίδ. ρβ.

Ε υλόγει ἡ ψυχή μου τὸν
κύριον. καὶ πάντα τὰ
ἐντός μου τὸ ὄνομα τὸ ἅγιον
αὐτοῦ.

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον.
καὶ μὴ ἐπιλανθάνου πάσας
τὰς ἀνταποδόσεις αὐτοῦ

Τὸν εὐϊλατεύοντα πάσαις
ταῖς ἀνομίαις σου. τὸν ἰώμε-

Ne reuoces me in dimidio die
rum mei. in generatione generati
onum anni tui.

Initio tu domine terram fun
dasti & opera ma
nuum tui sunt cæli.

Ipsi peribunt tu autem per-
manes & omnes sicut uesti
mentum interescent.

Et sicut amictum uertes
eos & mutabuntur. tu
autem idem es. & anni tui
non deficient.

Filii seruorum tui habi-
tabunt & sæmen eo-
rum in sæculum dirige-
tur.

Psalmus Dauid. ci.

b enedic anima mei
dominum. & omnia
intra me nomen sanctum
eius.

Benedic anima mei dominum.
& non obliuiscere omnes
retributiones eius.

Propitiantem omnibus
iniquitatibus tui sanan-

·heb· ante faciē tuam perseuerabit.

νον πάσας τὰς νόσους σου
τὸν λυτρούμενον ἐκ φθορᾶς
τὴν ζωήν σου. τὸν στεφανοῦν
τάσε ἐν ἐλέῳ καὶ οἰκτιρ
μοῖς.
τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς
τὴν ἐπιθυμίαν σου. ἀνακαινισ
θήσεται ὡς ἀετοῦ ἡ νεότης
σου.
Ποιῶν ἐλεημοσύνας ὁ κύριος.
καὶ κρίμα πᾶσι τοῖς ἀδικου
μένοις.
ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ
τῷ μωϋσῆ. τοῖς υἱοῖς ἰσρα
ὴλ τὰ θελήματα αὐτοῦ.
Οἰκτίρμων καὶ ἐλεήμων ὁ κύρι
ος. μακρόθυμος καὶ πολυέ
λεος.
Οὐκ εἰς τέλος ὀργισθήσεται.
οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.
Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐ-
ποίησεν ἡμῖν. οὐδὲ κατὰ
τὰς ἁμαρτίας ἡμῶν ἀντα
πέδωκεν ἡμῖν.
Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρα
νοῦ ἀπὸ τῆς γῆς ἐκραταί
ωσε κύριος τὸ ἔλεος αὐ
τοῦ ἐπὶ τοὺς φοβουμένους
αὐτόν.

tem omnes langores tui.
Redimentem ex interitu
uitam tui. coronan-
tem te in misericordia & miseratio
nibus.
Implentem in bonis
desyderium tui. renoua-
bitur ut aquilæ iuuentus
tui.
Faciens misericordias dominus.
& iudicium omnibus iniuriam
patientibus.
Notificauit uias eius
moysi. filiis isra
el uoluntates eius.
Miserator & misericors do
minus. longanimis & multum
misericors.
Non in finem irascetur
neq; in æternum comminabitur
Non secundũ iniquitates nostrũ fe
cit nobis. neq; secundum
peccata nostrum retri-
buit nobis.
Quoniam secundum altitudinẽ cæ
li a terra corrobo-
rauit dominus misericordiam e-
ius super timentes
eum.

Καθόσον ἀπέχουσιν ἀνατολαὶ
ἀπὸ δυσμῶν ἐμάκρυνεν ἀ-
φ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν.
Καθὼς οἰκτείρει πατὴρ υἱούς.
ᾠκτείρησε κύριος τοὺς φο-
βουμένους αὐτόν. ὅτι αὐτὸς
ἔγνω τὸ πλάσμα ἡμῶν.
ἐμνήσθη ὅτι χοῦς ἐσμέν. ἄν-
θρωπος ὡσεὶ χόρτος, αἱ ἡμέ-
ραι αὐτοῦ ὡσεὶ ἄνθος ἀγροῦ
οὕτως ἐξανθήσει.
Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ
καὶ οὐχ ὑπάρξει καὶ οὐκ ἐπι-
γνώσεται ἔτι τὸν τόπον αὐ-
τοῦ.
Τὸ δὲ ἔλεος τοῦ κυρίου ἀπὸ
τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶ-
νος ἐπὶ τοῖς φοβουμένοις αὐ-
τόν.
Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ
υἱοῖς υἱῶν τοῖς φυλάσσουσι
τὴν διαθήκην αὐτοῦ.
Καὶ μεμνημένοις τῶν ἐντο-
λῶν αὐτοῦ τοῦ ποιῆσαι αὐ-
τάς.
Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμα-
σε τὸν θρόνον αὐτοῦ. καὶ ἡ
βασιλεία αὐτοῦ πάντων δεσ-
πόζει.

Quantum distat oriens
ab occidente. elongauit a
nobis iniquitates nostrum.
Quomodo miseratur pater filios.
miseratus est dominus timen
tes se. quoniam ipse
cognouit figmentum nostrum
Recordatus ē quoniā puluis sum⁹.
homo sicut foenum. di
es eius tanquam flos agri
sic efflorebit.
Quoniā spiritus pertransiuit in eo
& non subsistet. & non cogno
scet amplius locum
suum.
Sed misericordia domini ab
æterno & usq; æter
num super timentes e
um.
Et iusticia eius super
filiis filiorum custodientibus
testamentum eius.
Et memoribus manda-
torum eius facere e-
a.
Dominus in cælo para
uit sedem eius. &
regnum eius omnium domi-
natur.

εὐλογεῖτε τὸν κύριον πάντες
οἱ ἄγγελοι αὐτοῦ. δυνατοὶ ἰ
σχύϊ ποιοῦντες τὸν λόγον
αὐτοῦ τοῦ ἀκοῦσαι τῆς φω-
νῆς τῶν λόγων αὐτοῦ.
εὐλογεῖτε τὸν κύριον πᾶσαι
αἱ δυνάμεις αὐτοῦ. λειτουρ
γοὶ αὐτοῦ ποιοῦντες τὸ θέλη
μα αὐτοῦ.
εὐλογεῖτε τὸν κύριον πάντα
τὰ ἔργα αὐτοῦ ἐν παντὶ τό-
πῳ τῆς δεσποτείας αὐτοῦ, εὐ-
λόγει ἡ ψυχή μου τὸν κύριον.

Benedicite dominum omnes
angeli eius. potentes uir-
tute facientes uerbum
eius audire uo
cem sermonum eius.
Benedicite dominum omnes
uirtutes eius. mini-
stri eius facientes uolun-
tatem eius.
Benedicite dominum omnia
opera eius in omni lo-
co dominationis eius bene-
dic anima mei dominum.

Δό. ψαλμὸς τῷ δαυὶδ ἐπὶ
του κόσμου γενέσεως.
. ργ.

Gloria. Psalmus Dauid in
mundi creatione.
. ciii.

ε   ὐλόγει ἡ ψυχή μου τὸν
κύριον. κύριε ὁ θεός
μου ἐμεγαλύνθης σφόδρα.
ἐξομολόγησιν καὶ μεγαλο
πρέπειαν ἐνεδύσω. ἀναβα
λόμενος φῶς ὡς ἱμάτιον.
ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ
δέρριν. ὁ στεγάζων ἐν ὕδασι
τὰ ὑπερῷα αὐτοῦ.
ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν
αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτε-

b   enedic anima mei
dominum. domine deus
mei magnificatus es ualde.
Confessionem & deco-
rem induisti. indu-
ens lumen sicut uestimentum.
Extendens cælum sicut
pellem. tegens in aquis
superiora eius.
Ponẽs nubes ascensum
tui, ambulans super pen

ρύγων ἀνέμων.
Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ
πνεύματα. καὶ τοὺς λειτουρ
γοὺς αὐτοῦ πῦρ φλέγον.
Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀ
σφάλειαν αὐτῆς. οὐ κλιθήσε
ται εἰς τὸν αἰῶνα τοῦ αἰῶ
νος.
Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβό
λαιον αὐτοῦ. ἐπὶ τῶν ὀρέων
στήσονται ὕδατα.
Ἀπὸ ἐπιτιμήσεώς σου φεύξον
ται. ἀπὸ φωνῆς βροντῆς σου
δειλιάσουσιν.
Ἀναβαίνουσιν ὄρη καὶ καταβαί
νουσι πεδία εἰς τὸν τόπον ὃν
ἐθεμελίωσας αὐτοῖς.
Ὅριον ἔθου ὃ οὐ παρελεύσον
ται. οὐδὲ ἐπιστρέψουσι καλύψαι
τὴν γῆν.
Ὁ ἐξαποστέλλων πηγὰς ἐν φά
ραγξιν. ἀναμέσον τῶν ὀρέων δι
ελεύσονται ὕδατα.
Ποτιοῦσι πάντα τὰ θηρία τοῦ
ἀγροῦ. προσδέξονται ὄναγροι εἰς
δίψαν αὐτῶν.
Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρα
νοῦ κατασκηνώσει. ἐκ μέσου
τῶν πετρῶν δώσουσι φωνήν

nas uentorum.
Faciens angelos eius
spiritus. & mini
stros eius ignem urentem.
Fundans terram super sta
bilitatem eius. non inclinabi
tur in sæculum sæcu
li.
Abyssus sicut uestimentum ami
ctus eius. super montes
stabunt aquæ.
Ab increpatione tui fugi
ent a uoce tonitrui tui for
midabunt.
Ascendunt montes & descen
dunt campi in locum quem fun
dasti eis.
Terminũ posuisti quem non præ
teribunt. neq; conuertent operire
terram.
Emittens fontes in con
uallibus. per medium montium trã
sibunt aquæ.
Adaquabant omnes bestias a
gri. expectabunt onagri in
sitim eorum.
Super eos uolucres cæ
li habitabunt. ex medio
petrarum dabunt uocem

Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων	Rigans montes ex superioribus
αὐτοῦ. ἀπὸ καρποῦ τῶν ἔργων	eius. a fructu operum
σου. χορτασθήσεται ἡ γῆ.	tui satiabitur terra.
Ὁ ἐξανατέλλων χόρτον τοῖς	Producens foenum
κτήνεσι. καὶ χλόην τῇ δου	iumentis. & herbam ser-
λείᾳ τῶν ἀνθρώπων.	uituti hominum.
Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς	Educere panem ex terra.
καὶ οἶνος εὐφραίνει καρδίαν	& uinum lætificat cor
ἀνθρώπου.	hominis.
Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐ	Exhilarare faciem in o
λαίῳ. καὶ ἄρτος καρδίαν ἀν	leo. & panis cor homi
θρώπου στηρίζει.	nis confirmat.
Χορτασθήσεται τὰ ξύλα τοῦ	Saturabuntur ligna
πεδίου αἱ κέδροι τοῦ λιβάνου	campi cedri Libani
ἃς ἐφύτευσας, ἐκεῖ στρουθία	quas plantasti. illic passeres
ἐννοσσεύσουσι.	nidificabunt
Τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται	Erodii domus dux est
αὐτῶν. ὄρη τὰ ὑψηλὰ ταῖς ἐλά	eorum montes excelsi cer
φοις, πέτρα καταφυγὴ τοῖς	uis: petra refugium
λαγωοῖς.	leporibus. erinacijs
Ἐποίησε σελήνην εἰς καιρούς.	Fecit lunam in tempora.
ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.	sol cognouit occasum eius.
Ἔθου σκότος καὶ ἐγένετο νύξ. ἐν	Posuisti tenebras et fuit nox. in
αὐτῇ διελεύσεται πάντα τὰ	ipsa pertransibunt omnes
θηρία τοῦ δρυμοῦ	bestiæ siluæ
Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπά-	Catuli leonum rugientes ra
σαι καὶ ζητῆσαι παρὰ τοῦ θεοῦ	pere & quærere a deo
βρῶσιν αὐτοῖς	escam ipsis.
Ἀνέτειλεν ὁ ἥλιος καὶ συνήχθη	Ortus est sol & congrega

phi

in spelūcis.
in cubilibus.

σαν, καὶ εἰς τὰς μάνδρας αὐ
τῶν κοιτασθήσονται.
Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ
ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασί
αν αὐτοῦ ἕως ἑσπέρας.
Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύ
ριε, πάντα ἐν σοφίᾳ ἐποίησας·
ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς
σου.
Αὕτη ἡ θάλασσα ἡ μεγάλη
καὶ εὐρύχωρος. ἐκεῖ ἑρπετά
ὧν οὐκ ἔστι ἀριθμός.
Ζῶα μικρὰ μετὰ μεγάλων. ἐ-
κεῖ πλοῖα διαπορεύσονται.
Δράκων οὗτος ὃν ἔπλασας
ἐμπαίζειν αὐτῷ, πάντα πρὸς
σε προσδοκῶσι δοῦναι τὴν
τροφὴν αὐτῶν εἰς εὔκαιρον.
Δόντος σου αὐτοῖς συλλέξου-
σιν. ἀνοίξαντός σου τὴν χεῖ
ρα τὰ σύμπαντα πλησθήσον-
ται χρηστότητος.
Ἀποστρέψαντος δέ σου τὸ πρό
σωπον ταραχθήσονται, ἀντα
νελεῖς τὸ πνεῦμα αὐτῶν καὶ
ἐκλείψουσι καὶ εἰς τὸν χοῦν
αὐτῶν ἐπιστρέψουσι.
Ἐξαποστελεῖς τὸ πνεῦμά σου
καὶ κτισθήσονται καὶ ἀνακαι

tæ sunt & in mandras ea-
rum cubabunt.
Exibit homo ad
opus eius. & ad operatio
nem eius usque uesperam.
Quam magnificata sunt opera tua
domine. omnia in sapientia fecisti.
impleta est terra creaturæ
tuæ.
Hoc mare magnum
& spaciosum. illic reptilia
quorum non est numerus.
Animalia parua cum magnis. il
lic naues pertransibunt.
Draco iste quem formasti
illudere ipsi. omnia ad
te expectant dare
escam eorum in opportunitum.
Dante te eis colli-
gent. aperiente te ma
num omnia imple
buntur bonitate.
Auertente autem te fa-
ciem turbabuntur aufe
res spiritum eorum &
deficient & in puluerem
eorum reuertentur.
Emittes spiritum tuum
& creabuntur. & renoua

μισῃς τὸ πρόσωπον τῆς γῆς.
Ἤτω ἡ δόξα κυρίου εἰς τοὺς αἰῶνας εὐφρανθήσεται κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.
Ὁ ἐμβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν. ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.
Ἄσω τῷ κυρίῳ ἐν τῇ ζωῇ μου ψαλῶ τῷ θεῷ μου ἕως οὗ ὑπάρχω.
Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου. ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ κυρίῳ.
Ἐκλίποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι ὥστε μὴ ὑπάρχειν αὐτούς. εὐλόγει ἡ ψυχή μου τὸν κύριον.

Δό. ἀλληλούια. ρδ.

Ἐξομολογεῖσθε τῷ κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ.
ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ.
Ἄσατε αὐτῷ καὶ ψάλατε αὐτῷ διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ.

bis faciem terræ.
Sit gloria domini in ſecula. lætabitur dominus in operibus eius.
Reſpiciens ſuper terram & faciens eam tremere. tangens montes & fumigant.
Cantabo domino in uita mei pſallam deo mei quam diu furo.
Iucundum ſit ei eloquium mei. ego autem delectabor in domino.
Deficiant peccatores a terra & iniqui ut non eſſe eos. benedic anima mei dominum.

Gloria. Alleluia. ciiii.

Confitemini domino & inuocate nomen eius.
annunciate in gentibus opera eius.
Cantate ei & pſallite ei. narrate omnia mirabilia eius.

Ἐπαινέσθε ἐν τῷ ὀνόματι τῷ
ἁγίῳ αὐτοῦ εὐφρανθήτω καρ
δία ζητούντων τὸν κύριον.
Ζητήσατε τὸν κύριον καὶ κραται
ώθητε. ζητήσατε τὸ πρόσω
πον αὐτοῦ διαπαντός.
Μνήσθητε τῶν θαυμασίων αὐ-
τοῦ ἃ ἐποίησε τὰ τέρατα αὐτοῦ
καὶ τὰ κρίματα τοῦ στόματος
αὐτοῦ.
Σπέρμα ἁβραὰμ δοῦλοι
αὐτοῦ. υἱοὶ ἰακὼβ ἐκλεκτοὶ
αὐτοῦ.
Αὐτὸς κύριος ὁ θεὸς ἡμῶν.
ἐν πάσῃ τῇ γῇ τὰ κρίμα
τα αὐτοῦ.
Ἐμνήσθη εἰς τὸν αἰῶνα δι
αθήκης αὐτοῦ λόγου οὗ ἐνε
τείλατο εἰς χιλίας γενεάς
Ὃν διέθετο τῷ ἁβραὰμ καὶ
τῷ ὅρκῳ αὐτοῦ ἰσαάκ.
Καὶ ἔστησεν αὐτὸν τῷ ἰακὼβ
εἰς πρόσταγμα. καὶ τῷ ἰσρα
ὴλ εἰς διαθήκην αἰώνιον.
Λέγων σοὶ δώσω τὴν γῆν χα
ναὰν σχοίνισμα κληρονομί
ας ὑμῶν.
Ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ
βραχεῖς ὀλιγοστοὺς καὶ πα

Laudemini in nomine
sancto eius. lætetur
cor quærentium dominum.
Quærite dominum & confor-
tamini. quærite fa
ciem eius semper.
Mementote mirabilium e-
ius quæ fecit. & prodigia eius
& iudicia oris
eius.
Semen habraham serui
eius. filii Iacob electi
eius.
Ipse dominus deus nostrum,
in omni terra iudi-
cia eius.
Memor fuit in sæculum testa
menti eius uerbi quod man-
dauit in mille generationes.
Quod disposuit Habraham et
iuramento eius isaac.
Et statuit illud iacob
in præceptum. & isra
el in testamentum sempiternum.
Dicens tibi dabo terram cha
naan funiculum hæredita
tis uestrum.
In esse eos numero
breues. paucissimos & in

ροίκους ἐν αὐτῇ.	colas eius.
Καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔ-	Et transierunt de gente in gen
θνος. καὶ ἐκ βασιλείας εἰς	tem. & ex regno in
λαὸν ἕτερον.	populum alterum.
Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδι-	Non reliquit hominem noce
κῆσαι αὐτούς. καὶ ἤλεγξεν	re eos. & arguit
ὑπὲρ αὐτῶν βασιλεῖς.	proeis reges.
Μὴ ἅπτεσθε τῶν χριστῶν μου	Ne tangite christos mei.
καὶ ἐν τοῖς προφήταις μου	& in prophetis mei
μὴ πονηρεύεσθε.	nemalignamini.
Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν	Et uocauit famem super
γῆν. πᾶν στήριγμα ἄρτου συνέ-	terram. omne firmamentum panis
τριψε.	contriuit.
Ἀπέστειλεν ἔμπροσθεν αὐτῶν	Misit ante eos
ἄνθρωπον. εἰς δοῦλον ἐπρά-	hominem. in seruum uenundatus
θη ἰωσήφ.	est Ioseph.
Ἐταπείνωσαν ἐν πέδαις	Humiliauerunt in compedibus
τοὺς πόδας αὐτοῦ. σίδη-	pedes eius. fer
ρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ.	rum pertransiuit anima eius.
Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐ-	Vsque ueniat uerbum e
τοῦ τὸ λόγιον κυρίου ἐπύρω-	ius eloquium domini incen
σεν αὐτόν..	dit eum
Ἀπέστειλε βασιλεὺς καὶ ἔλυ-	Misit rex & sol
σεν αὐτόν. ἄρχων λαοῦ καὶ	uit eum. princeps populi. &
ἀφῆκεν αὐτόν.	dimisit eum.
Κατέστησεν αὐτὸν κύριον τοῦ	Constituit eum dominum
οἴκου αὐτοῦ καὶ ἄρχοντα πά-	domus eius. & principem o
σης τῆς κτήσεως αὐτοῦ.	mnis possessionis eius.
Τοῦ παιδεῦσαι τοὺς ἄρχοντας	Erudire principes

αὐτοῦ ὡς ἑαυτὸν καὶ τοὺς
πρεσβυτέρους αὐτοῦ σοφί
σαι.
Καὶ εἰσῆλθεν ἰσραὴλ εἰς αἴγυ
πτον. καὶ ἰακὼβ παρῴκησεν ἐν
γῇ χάμ.
Καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ
σφόδρα, καὶ ἐκραταίωσεν αὐ
τὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐ
τοῦ.
Μετέστρεψε τὴν καρδίαν αὐ
τοῦ τοῦ μεσῆσαι τὸν λαὸν αὐ
τοῦ καὶ δολιοῦσθαι ἐν τοῖς
δούλοις αὐτοῦ.
Ἐξαπέστειλε μωϋσῆ τὸν δοῦ
λον αὐτοῦ. ἀαρὼν ὃν ἐξελέ
ξατο ἑαυτῷ.
Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους
τῶν σημείων αὐτοῦ καὶ τῶν
τεράτων αὐτοῦ ἐν γῇ χάμ.
Ἐξαπέστειλε σκότος καὶ ἐσκό
τασεν, ὅτι παρεπίκραναν
τοὺς λόγους αὐτοῦ.
Μετέστρεψε τὰ ὕδατα αὐτῶν
εἰς αἷμα, καὶ ἀπέκτεινε τοὺς
ἰχθύας αὐτῶν.
Ἐξῆρψεν ἡ γῆ αὐτῶν βατρά
χους ἐν τοῖς ταμιείοις
βασιλέων αὐτῶν.

eius ſicut ſeipſum &
ſeniores eius ſapientiam
docere.
Et ingreſſus eſt iſrael in ægy
ptum. & iacob incoluit in
terra cham.
Et auxit populum eius
nimis & confortauit e
um ſuper inimicos e
ius.
Conuertit cor e,
ius odiſſe populum e
ius & dolum facere in
ſeruos eius.
Miſit moyſen ſer
uum eius. Aaron quem ele,
git ipſi.
Poſuit in eis uerba
ſignorum eius &
prodigiorum eius in terra cham
Miſit tenebram & obſcu
rauit. quoniam exacerbauerũt
ſermones eius.
Conuertit aquas eorum
in ſanguinem & occidit
piſces eaꝝ.
Edidit terra eorum ra
nas in penetralibus
regiarum eorum.

εἶπε καὶ ἦλθε κυνόμυια καὶ
σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις
αὐτῶν.
ἔθετο τὰς βροχὰς αὐτῶν χάλα
ζαν πῦρ καταφλέγον ἐν τῇ γῇ
αὐτῶν.
Καὶ ἐπάταξε τὰς ἀμπέλους
αὐτῶν καὶ τὰς συκὰς αὐτῶν
καὶ συνέτριψε πᾶν ξύλον ὁρί
ου αὐτῶν.
εἶπε καὶ ἦλθεν ἀκρὶς καὶ βροῦ
χος οὗ οὐκ ἦν ἀριθμὸς. καὶ κα
τέφαγε πάντα χόρτον ἐν τῇ
γῇ αὐτῶν καὶ κατέφαγε πάν
τα τὸν καρπὸν τῆς γῆς αὐ
τῶν.
Καὶ ἐπάταξε πᾶν πρωτότο
κον ἐν τῇ γῇ αὐτῶν ἀπαρ
χὴν παντὸς πόνου αὐτῶν.
Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυ
ρίῳ καὶ χρυσίῳ. καὶ οὐκ ἦν
ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθε
νῶν.
εὐφράνθη αἴγυπτος ἐν τῇ ἐξό
δῳ αὐτῶν ὅτι ἐπέπεσεν ὁ
φόβος αὐτῶν ἐπ᾽ αὐτούς.
Διεπέτασε νεφέλην εἰς σκέ
πην αὐτοῖς καὶ πῦρ τοῦ φω
τίσαι αὐτοῖς τὴν νύκτα

Dixit & uenit cynomyia &
sciniphes in omnibus finibus
eorum.
Posuit pluuias eorum grandi
nem. ignem comburentem in terra
eorum.
Et percussit uites
eorum & ficus eorum
& contriuit omne lignum fi
nis eorum.
Dixit & uenit locusta & bru
chus cuius non erat numerus. & co
medit omne foenum in
terra eorum o
mnem fructum terræ eo
rum.
Et percussit omne primogeni
tum in terra eorum primi
tiam omnis laboris eorum.
Et eduxit eos in argen
to & auro. & non erat
in tribubus eorum infir
mus.
Læta est ægyptus in exi
tu eorum. quoniam incubuit
timor eorum super eos.
Extendit nubem in pro
tectionem eis. & ignem illu
minare eis noctem.

ᾔτησαν καὶ ἦλθεν ὀρτυγομή- τρα. καὶ ἄρτον οὐρανοῦ ἐνέ- πλησεν αὐτούς.	Petierunt & uenit cotur nix. & pane cæli im- pleuit eos.
Διέρρηξε πέτραν καὶ ἐρρύη- σαν ὕδατα. ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί.	Interrupit petram & flu xerunt aquæ. abierunt in inaquosis flumina.
Ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁ- γίου αὐτοῦ τοῦ πρὸς ἁβρα- αμ τὸν δοῦλον αὐτοῦ.	Quia memor fuit uerbi san cti eius ad habra ham seruum eius.
Καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει. καὶ τοὺς ἐκλε- κτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ.	Et eduxit populum eius in exultatione. & ele ctos eius in lætitia.
Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐ- θνῶν καὶ πόνους λαῶν κα- τεκληρονόμησαν.	Et dedit eis regiones gen tium & labores populorum posse- derunt.
Ὅπως ἂν φυλάξωσι τὰ δικαι- ώματα αὐτοῦ. καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσιν.	Vt custodiant iustifi cationes eius. & legem eius exquirant.
Δό. καθ. δι. ἀλληλούϊα. ρε.	Gloria. sessio xiiii. alleluia. cv.
ἐ ξομολογεῖσθε τῷ κυ- ρίῳ ὅτι χρηστός. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐ- τοῦ.	c onfitemini do- mino quoniam bonus. quoniam in sæculum misericordia e ius.
Τίς λαλήσει τὰς δυναστείας τοῦ κυρίου. ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ.	Quis loquetur potentias domini. auditas faciet omnes laudationes eius.
Μακάριοι οἱ φυλάσσοντες κρί-	Beati custodientes iu-

σιν καὶ ποιοῦντες δικαιοσύ
νην ἐν παντὶ καιρῷ.
Μνήσθητι ἡμῶν κύριε ἐν τῇ
εὐδοκίᾳ τοῦ λαοῦ σοῦ. ἐπί
σκεψαι ἡμᾶς ἐν τῷ σωτηρί
ῳ σου.
Τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι
τῶν ἐκλεκτῶν σου τοῦ εὐ
φρανθῆναι ἐν τῇ εὐφροσύνῃ
τοῦ ἔθνους σου. τοῦ ἐπαινεῖ
σθαι μετὰ τῆς κληρονομίας
σου,
Ἡμάρτομεν μετὰ τῶν πα
τρῶν ἡμῶν. ἠνομήσαμεν ἠ
δικήσαμεν.
Οἱ πατέρες ἡμῶν ἐν αἰγύπτῳ
οὐ συνῆκαν τὰ θαυμάσιά
σου. οὐκ ἐμνήσθησαν τοῦ
πλήθους τοῦ ἐλέους σου.
Καὶ παρεπίκραναν ἀναβαί
νοντες ἐν τῇ ἐρυθρᾷ θαλάσ
σῃ.
Καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν
τοῦ ὀνόματος αὐτοῦ τοῦ
γνωρίσαι τὴν δυναστείαν αὐ
τοῦ.
Καὶ ἐπετίμησε τῇ ἐρυθρᾷ θα
λάσσῃ καὶ ἐξηράνθη καὶ ὡδή
γησεν αὐτοὺς ἐν ἀβύσσῳ ὡς

dicium. & facientes iusti-
ciam in omni tempore.
Memento nostri domine in
beneplacito populi tui. visi-
ta nos in saluta
ri tuo.
Videre in bonitate
electorum tui læta
ri in lætitia
gentis tui. lauda
ri cum hæreditate
tui.
Peccauimus cum pa
tribus nostris. iniuste egimus iniqui
tatem fecimus.
Patres nostrum in ægypto
non intellexerunt mirabilia
tui. non recordati sunt
multitudinis misericordiæ tui.
Et irritauerunt ascen
dentes in rubro ma
ri.
Et saluauit eos gratia
nominis eius.
notificare potentiam e-
ius.
Et increpuit rubrum ma
re & aruit. & dedu
xit eos in abysso tanquam

ἐν ἐρήμῳ.	in deserto.
Καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς	Et saluauit eos de manu
μισοῦντος καὶ ἐλυτρώσατο	odientis & redemit
αὐτοὺς ἐκ χειρὸς ἐχθροῦ.	eos de manu inimici.
Ἐκάλυψεν ὕδωρ τοὺς θλίβον	Cooperuit aqua tribu
τας αὐτοὺς εἷς ἐξ αὐτῶν	lantes eos. unus ex eis
οὐκ ὑπελείφθη.	non relictus est.
Καὶ ἐπίστευσαν τῷ λόγῳ αὐ	Et crediderunt sermoni e
τοῦ. καὶ ᾖσαν τὴν αἴνεσιν	ius. & cantauerunt laudationem
αὐτοῦ.	eius.
Ἐτάχυναν ἐπελάθοντο τῶν ἔρ	Accelerauerunt obliti sunt o-
γων αὐτοῦ. οὐχ ὑπέμειναν	perum eius. non sustinuerunt
τὴν βουλὴν αὐτοῦ.	consilium eius.
Καὶ ἐπεθύμησαν τὴν ἐπιθυμί	Et concupierunt concupi-
αν ἐν τῇ ἐρήμῳ. καὶ ἐπείρα	scentiam in deserto. & tempta
σαν τὸν θεὸν ἐν ἀνύδρῳ.	uerunt deum in inaquoso.
Καὶ ἔδωκεν αὐτοῖς τὰ αἰτή	Et dedit eis petitio-
ματα αὐτῶν. ἐξαπέστειλε	nes eoꝝ. misit
πλησμονὴν εἰς τὰς ψυχὰς	saturitatem in animas
αὐτῶν.	eoꝝ.
Καὶ παρώργισαν τὸν μωϋ	Et irritauerunt Moy-
σῆν ἐν τῇ παρεμβολῇ αὐ	sen in castris eo-
τῶν τὸν ἀαρὼν τὸν ἅγιον	rum Aaron sanctum
κυρίου.	domini.
Ἠνοίχθη ἡ γῆ καὶ κατέπιε δα	Aperta est terra. & absorbuit Da
θὰν καὶ ἐκάλυψεν ἐπὶ τὴν	than. & operuit super
συναγωγὴν ἀβειρών.	congregationem Abiron.
Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συνα	Et exarsit ignis in syna
γωγῇ αὐτῶν φλὸξ κατέφλε	goga eorum flama com

ζεν ἁμαρτωλούς.
Καὶ ἐποίησαν μόσχον ἐν Χω
ρὴβ. καὶ προσεκύνησαν τῷ
γλυπτῷ.
Καὶ ἠλλάξαντο τὴν δόξαν αὐ
τοῦ ἐν ὁμοιώματι μόσχου
ἐσθίοντος χόρτον.
Καὶ ἐπελάθοντο θεοῦ τοῦ σώ
ζοντος αὐτοὺς τοῦ ποιήσαν
τος μεγάλα ἐν αἰγύπτῳ θαυ
μάσια ἐν γῇ χάμ. φοβερὰ ἐ
πὶ θαλάσσης ἐρυθρᾶς.
Καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐ
τοὺς εἰ μὴ μωϋσῆς ὁ ἐκλε
κτὸς αὐτοῦ ἔστη ἐν τῇ θραύσει
ἐνώπιον αὐτοῦ.
Τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐ
τοῦ τοῦ μὴ ἐξολοθρεῦσαι αὐ
τούς καὶ ἐξουδένωσαν γῆν ἐ
πιθυμητήν.
Οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐ
τοῦ καὶ ἐγόγγυσαν ἐν τοῖς
σκηνώμασιν αὐτῶν οὐκ
εἰσήκουσαν τῆς φωνῆς κυ
ρίου.
Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ
ἐπαύτους τοῦ καταβαλεῖν
αὐτοὺς ἐν τῇ ἐρήμῳ.

bussit peccatores.
Et fecerunt uitulum in cho
reb. & adorauerunt
sculptile.
Et mutauerunt gloriam e
ius in similitudine uituli
comedentis foenum.
Et obliti sunt dei sal
uantis eos facien
tis magna in ægypto mira
bilia in terra cham terribilia
in mari rubro.
Et dixit disperdere e
os si non moyses e
lectus eius stetit in confractione
coram eo.
Auertere iram e
ius non disperdere e
os & contempserunt terram de
syderabilem.
Non crediderunt sermoni e
ius & murmurauerunt in
tabernaculis eorum non
exaudierunt uocem do
mini.
Et eleuauit manum eius
super eos prosternere
eos in deserto.

Καὶ τοῦ καταβαλεῖν τὸ σπέρ
μα αὐτῶν ἐν τοῖς ἔθνεσι. καὶ
διασκορπίσαι αὐτοὺς ἐν
ταῖς χώραις.
Καὶ ἐτελέσθησαν τῷ Βεελφε
γώρ. καὶ ἔφαγον θυσίας νεκρῶν.
Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς
ἐπιτηδεύμασιν αὐτῶν. καὶ ἐ
πληθύνθη ἐν αὐτοῖς ἡ πτῶ
σις.
Καὶ ἔστη φινεὲς καὶ ἐξιλάσατο
καὶ ἐκόπασεν ἡ θραῦσις.
Καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιο-
σύνην. εἰς γενεὰν καὶ γενεὰν ἕως
τοῦ αἰῶνος.
Καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕ-
δατος ἀντιλογίας καὶ ἐκακώθη
μωϋσῆς δι' αὐτοὺς ὅτι παρεπί
κραναν τὸ πνεῦμα αὐτοῦ.
Καὶ διέστειλεν ἐν τοῖς χεί
λεσιν αὐτοῦ. οὐκ ἐξωλόθρευ
σαν τὰ ἔθνη ἃ εἶπεν ὁ κύ
ριος αὐτοῖς.
Καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι καὶ
ἔμαθον τὰ ἔργα αὐτῶν καὶ ἐδού
λευσαν τοῖς γλυπτοῖς αὐτῶν
καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδα-
λον.
Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν

Et deiicere se
men eorum in gentibus. &
disperdere eos in
regionibus.
Et initiati sunt Beelphegor
& comederunt sacrificia mortuorum.
Et concitauerunt eum in
adinuentionibus eorum. & multi
plicata est in eis rui-
na.
Et stetit phinees & placauit
& cessauit quassatio.
Et reputatum est ei in iusti
ciam, in generationem & genera-
tionem usque sæculum.
Et irritauerunt eum ad a
quam contradictionis & uexatus est
moyses propter eos quoniam irrita-
uerunt spiritum eius.
Et distinxit in la
biis eius. non disperdi-
derunt gentes quas dixit do
minus eis.
Et mixti sunt in gentibus & didi-
cerunt opera eorum & ser
uierunt sculptilibus eorum
& factum est illis in scan
dalum.
Et immolauerunt filios eorum

καὶ τὰς θυγατέρας αὐτῶν
τοῖς δαιμονίοις.
Καὶ ἐξέχεαν αἷμα ἀθῶον αἷμα
υἱῶν αὐτῶν καὶ θυγατρῶν. ὧν
ἔθυσαν τοῖς γλυπτοῖς χανα
άν.
Καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς
αἵμασι καὶ ἐμιάνθη ἐν τοῖς
ἔργοις αὐτῶν καὶ ἐπόρνευσαν
ἐν τοῖς ἐπιτηδεύμασιν αὐ
τῶν.
Καὶ ὠργίσθη θυμῷ κύριος ἐ
πὶ τὸν λαὸν αὐτοῦ καὶ παρέ
δωκεν αὐτοὺς εἰς χεῖρας ἐχ
θρῶν.
Καὶ ἐκυρίευσαν αὐτῶν οἱ θλί
βοντες αὐτοὺς καὶ ἔθλιψαν
αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν.
Καὶ ἐταπεινώθησαν ὑπὸ τὰς
χεῖρας αὐτῶν. πλεονάκις
ἐρρύσατο αὐτούς.
Αὐτοὶ δὲ παρεπίκραναν αὐ
τὸν ἐν τῇ βουλῇ αὐτῶν. καὶ
ἐταπεινώθησαν ἐν ταῖς ἀνο
μίαις αὐτῶν.
Καὶ εἶδε κύριος ἐν τῷ θλίβε
σθαι αὐτοὺς ἐν τῷ αὐτὸν εἰσα
κοῦσαι τῆς δεήσεως αὐτῶν.
Καὶ ἐμνήσθη τῆς διαθήκης αὐ

& filias eorum
dæmoniis.
Et effuderūt sanguinē inocentē sā
guinē filiorꝫ suorꝫ & filiarꝫ quas
immolauerunt sculptilibus chana
an.
Et interfecta est terra in
sanguinibus & polluta est in
operibus eorum & fornicati sunt
in adinuentionibus eo
rum.
Et iratus est furore dominus su
per popolum eius & tradi
dit eos in manus ini
micorum.
Et dominati sunt eorū tribu
lantes eos & tribulauerunt
eos inimici eorum.
Et humiliati sunt sub
manibus eorum. sæpe
liberauit eos.
Ipsi autem exacerbauerunt e
um ī consilio eorum. &
humiliati sunt iniqui
tatibus eorum.
Et uidit dominus in tribu
lari eos in eum exaudi
re precem eorum.
Et recordatus est testamentie

τοῦ καὶ μετεμελήθη κατὰ τὸ
πλῆθος τοῦ ἐλέους αὐτοῦ.
Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρ
μοὺς ἐναντίον πάντων τῶν
αἰχμαλωτευσάντων αὐτούς.
Σῶσον ἡμᾶς κύριε ὁ θεὸς ἡ
μῶν καὶ ἐπισυνάγαγε ἡμᾶς
ἐκ τῶν ἐθνῶν.
Τοῦ ἐξομολογήσασθαι τῷ ὀνό
ματί σου τῷ ἁγίῳ. τοῦ ἐγκαυ
χᾶσθαι ἐν τῇ αἰνέσει σου.
Εὐλογητὸς κύριος ὁ θεὸς ἰσρα
ὴλ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως
τοῦ αἰῶνος. καὶ ἐρεῖ πᾶς ὁ λα
ός γένοιτο γένοιτο.

Δό. ἀλληλούϊα. ρϛ.

ἐ ξομολογεῖσθε τῷ
κυρίῳ ὅτι χρηστός.
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
αὐτοῦ.
Εἰπάτωσαν οἱ λελυτρωμένοι
ὑπὸ κυρίου οὓς ἐλυτρώσατο
ἐκ χειρὸς ἐχθρῶν καὶ ἐκ τῶν
χωρῶν συνήγαγεν αὐτούς.
Ἀπὸ ἀνατολῶν καὶ δυσμῶν
καὶ βορρᾶ καὶ θαλάσσης.
Ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν

ius & poenituit ſecundum
multitudinem miſericordiæ eius
Et dedit eos in miſera
tiones coram omnibus
captiuantibus eos.
Salua nos domine deus no
ſtrum & cōgrega nos
ex gentibus
Confiteri no
mini tui ſancto. glori
ari in laude tui.
Benedictus dominus deus iſ
rael a ſæculo & uſque
ſæculum & dicet omnis po
pulus fiat fiat.

Gloria. Alleluia. C. vi.

c onfitemini
domino quoniam bonus.
quoniam in ſæculum miſericordia
eius.
Dicant redempti
a domino quos redemit
ex manu inimicorum & ex
regionibus congregauit eos.
Ab oriente & occaſu
& aquilone & mari.
Errauerunt in ſolitudine in

ἀνύδρῳ ὁδὸν πόλεως κατοι	inaquoso uiam ciuitatis habita
κητηρίου οὐχ εὗρον.	culi non inuenerunt.
Πεινῶντες καὶ διψῶντες ἡ	Esurientes & sitientes
ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλι	anima eorum in ipsis de
πεν.	fecit.
ἐκέκραξαν πρὸς κύριον ἐν τῷ	Clamauerunt ad dominum in
θλίβεσθαι αὐτούς. καὶ ἐκ	tribulari eos. & ex
τῶν ἀναγκῶν αὐτῶν ἐρρύσα	necessitatibus eorum libera
το αὐτούς.	uit eos.
Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁ	Et deduxit eos in ui
δὸν εὐθεῖαν τοῦ πορευθῆναι	am rectam ire
εἰς πόλιν κατοικητηρίου.	in ciuitatem habitaculi.
ἐξομολογησάσθωσαν τῷ κυρί	Confiteantur domi,
ῳ τὰ ἐλέη αὐτοῦ· καὶ τὰ θαυμά	no misericordiæ eius. & mirabi
σια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀν	lia eius filiis ho
θρώπων.	minum.
Ὅτι ἐχόρτασε ψυχὴν κενήν. καὶ	Quoniam satiauit animã inanẽ. &
ψυχὴν πεινῶσαν ἐνέπλησεν	animam esurientem impleuit
ἀγαθῶν.	bonorum.
Καθημένους ἐν σκότει καὶ	Sedentes in tenebris &
σκιᾷ θανάτου. πεπεδημέ	umbra mortis. uin
νους ἐν πτωχείᾳ καὶ σιδήρῳ.	ctos in mendicitate & ferro.
Ὅτι παρεπίκραναν τὰ λόγια	Quoniam exacerbauerunt eloquia
τοῦ θεοῦ. καὶ τὴν βουλὴν τοῦ	dei. & consilium
θεοῦ παρώξυναν.	dei irritauerunt.
Καὶ ἐταπεινώθη ἐν κόποις ἡ	Et humiliatum est in laboribus
καρδία αὐτῶν. ἠσθένησαν	cor eorum, languerunt
καὶ οὐκ ἦν ὁ βοηθῶν.	& non erat adiuuans.
Καὶ ἐκέκραξαν πρὸς κύριον ἐν	Et humiliatum est in laboribus.

τῷ θλίβεσθαι αὐτούς. καὶ ἐκ
τῶν ἀναγκῶν αὐτῶν ἔσωσε
αὐτούς.
Καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκό
τους καὶ σκιᾶς θανάτου καὶ
τοὺς δεσμοὺς αὐτῶν διέρρη
ξεν.
Ἐξομολογησάσθωσαν τῷ κυρί
ῳ τὰ ἐλέη αὐτοῦ. καὶ τὰ θαυ
μάσια αὐτοῦ τοῖς υἱοῖς τῶν
ἀνθρώπων.
Ὅτι συνέτριψε πύλας χαλκᾶς
καὶ μοχλοὺς σιδηροῦς συνέ
θλασε.
Ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ
ἀνομίας αὐτῶν. διὰ γὰρ τὰς
ἀνομίας αὐτῶν ἐταπεινώ
θησαν.
Πᾶν βρῶμα ἐβδελύξατο ἡ
ψυχὴ αὐτῶν καὶ ἤγγισαν ἕως
τῶν πυλῶν τοῦ θανάτου.
Καὶ ἐκέκραξαν πρὸς κύριον ἐν
τῷ θλίβεσθαι αὐτοὺς καὶ ἐκ
τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν
αὐτούς.
Ἀπέστειλε τὸν λόγον αὐτοῦ καὶ
ἰάσατο αὐτοὺς καὶ ἐρρύσατο
αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐ
τῶν.

tribulari eos. & ex
neceſſitatibus eorum ſaluauit
eos.
Et eduxit eos ex te
nebra & umbra mortis &
uincula eorum di
rupit.
Confiteantur do
mino miſericordiæ eius. & mira
bilia eius filiis ho
minum.
Quoniam contriuit portas æreas.
& uectes ferreos confre
git.
Suſcepit eos ex uia
iniquitatis eorum. propter enim
iniquitates eorum humiliati
ſunt.
Omnem eſcam abominata eſt
anima eorum & appropinquauerũt
uſq; portas mortis.
Et clamauerunt ad dominum in
tribulari eos & ex
neceſſitatibus eorum ſaluauit
eos.
Miſit uerbum eius &
ſanauit eos. & eripuit
eos ex interitionibus eo
rum.

Ἐξομολογησάσθωσαν τῷ κυ
ρίῳ τὰ ἐλέη αὐτοῦ. καὶ τὰ
θαυμάσια αὐτοῦ τοῖς υἱοῖς
τῶν ἀνθρώπων.
Καὶ θυσάτωσαν αὐτῷ θυσίαν
αἰνέσεως καὶ ἐξαγγειλάτω-
σαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιά
σει.
Οἱ καταβαίνοντες εἰς θάλασ
σαν ἐν πλοίοις ποιοῦντες ἐρ
γασίαν ἐν ὕδασι πολλοῖς
Αὐτοὶ εἶδον τὰ ἔργα κυρίου. καὶ
τὰ θαυμάσια αὐτοῦ ἐν τῷ
βυθῷ.
Εἶπε καὶ ἔστη πνεῦμα καται
γίδος. καὶ ὑψώθη τὰ κύματα
αὐτῆς.
Ἀναβαίνουσιν ἕως τῶν οὐρα
νῶν καὶ καταβαίνουσιν ἕως
τῶν ἀβύσσων. ἡ ψυχὴ αὐτῶν
ἐν κακοῖς ἐτήκετο.
Ἐταράχθησαν ἐσαλεύθησαν
ὡς ὁ μεθύων. Καὶ πᾶσα ἡ σο
φία αὐτῶν κατεπόθη.
Καὶ ἐκέκραξαν πρὸς κύριον ἐν
τῷ θλίβεσθαι αὐτοὺς καὶ ἐκ
τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν
αὐτούς.
Καὶ ἐπέταξε τῇ καταιγίδι καὶ

Confiteantur do
mino misericordiæ eius. & mirabi
lia eius filiis
hominum.
Et sacrificent ei sacrificium
laudationis & annunti
ent opera eius in exulta
tione.
Descendentes in ma
re in nauibus. facientes opera
tionem in aquis multis.
Ipsi uiderunt opera domini. &
mirabilia eius in
profundo.
Dixit & stetit spiritus pro
cellæ & exaltati sunt flu
ctus eius.
Ascendunt usque cæ
los & descendunt usque
abyssos. anima eorum
in malis tabescebat.
Turbati sunt commoti sunt
tanquam ebrius. & omnis sa
pientia eorum absorpta est.
Et clamauerunt ad dominum in
tribulari eos et ex
necessitatibus eorum eduxit
eos.
Et imperauit procellæ &

ἔστη εἰς αὔραν καὶ ἐσίγησαν	ſtetit inauram & ſiluerunt
τὰ κύματα αὐτῆς .	fluctus eius .
Καὶ εὐφράνθησαν ὅτι ἡσύχα	Et lætati ſunt quia ſilue
σαν . καὶ ὡδήγησεν αὐτοὺς ἐ	runt. & deduxit eos
πὶ λιμένα θελήματος αὐτοῦ .	in portum uoluntatis eius .
Ἐξομολογησάσθωσαν τῷ κυ	Confiteantur do
ρίῳ τὰ ἐλέη αὐτοῦ . καὶ τὰ	mino miſericordiæ eius. &
θαυμάσια αὐτοῦ τοῖς υἱοῖς	mirabilia eius filiis
τῶν ἀνθρώπων .	hominum .
Ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλη	Exaltent eum in conuen
σίᾳ λαοῦ. καὶ ἐν καθέδρᾳ πρεσ	tu plebis. & in cathedra ſe
βυτέρων αἰνεσάτωσαν αὐ	niorum laudent e
τόν.	um .
Ἔθετο ποταμοὺς εἰς ἔρημον .	Poſuit flumina in deſertum
καὶ διεξόδους ὑδάτων εἰς δί	& exitus aquarum in ſi
ψαν .	tim .
Γῆν καρποφόρον εἰς ἅλμην ἀπὸ	Terrã fructiferam in ſalſuginem a
κακίας τῶν κατοικούντων ἐν	malitia habitantium in
αὐτῇ .	ea.
Ἔθετο ἔρημον εἰς λίμνας ὑδά	Poſuit deſertum in ſtagna aqua
των. καὶ γῆν ἄνυδρον εἰς διεξό	rum . & terram inaquoſam in exi
δους ὑδάτων .	tum aquarũ.
Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας	Et collocauit ibi eſurientes
καὶ συνεστήσαντο πόλεις κατοι	& cõſtituerunt ciuitates habitati
κεσίας .	onis.
Καὶ ἔσπειραν ἀγροὺς καὶ ἐφύ	Et ſeminauerunt agros & plan
τευσαν ἀμπελῶνας καὶ ἐ	tauerunt uineas & fece
ποίησαν καρπὸν γεννήματος .	runt fructum natiuitatis .
Καὶ εὐλόγησεν αὐτοὺς καὶ ἐ	Et benedixit eos & multipli

πληθύνθησαν σφόδρα καὶ
τὰ κτήνη αὐτῶν οὐκ ἐσμί
κρυνε.
Καὶ ὀλιγώθησαν καὶ ἐκακώθη
σαν ἀπὸ θλίψεως κακῶν καὶ
ὀδύνης.
Ἐξεχύθη ἐξουδένωσις ἐπ᾽ ἄρ
χοντας αὐτῶν καὶ ἐπλάνησεν
αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁ
δῷ.
Καὶ ἐβοήθησε πένητι ἐκ πτωχεί
ας καὶ ἔθετο ὡς πρόβατα
πατριάς.
Ὄψονται εὐθεῖς καὶ εὐφρανθή
σονται. καὶ πᾶσα ἀνομία ἐμ
φράξει τὸ στόμα αὐτῆς.
Τίς σοφὸς καὶ φυλάξει ταῦτα.
καὶ συνήσουσι τὰ ἐλέη τοῦ κυ
ρίου ;

Δό. ᾠδὴ. ψαλμὸς τῷ Δαυίδ
. ρζ.

Ἑ τοίμη ἡ καρδία μου
ὁ θεὸς ἑτοίμη ἡ καρδία
μου ᾄσομαι καὶ ψαλῶ ἐν τῇ
δόξῃ μου.
Ἐξεγέρθητι ἡ δόξα μου ἐξεγέρθη
τι ψαλτήριον καὶ κιθάρα ἐξεγερ

cati sunt nimis &
iumenta eorum non minu
it.
Et pauci facti sunt & uexati
sunt a tribulatione malorum &
dolore.
Effusa est contemptio super prin
cipes eorum & seduxit
eos in inuio & non ui
a.
Et adiuuit pauperem ex ino
pia. & posuit sicut oues
familias.
Videbunt recti & lætabun
tur. & omnis iniquitas
obturabit os eius.
Quis sapiens & custodiet hæc.
& intelligent misericordias do
mini?

Gloria canticum. psalmus Dauid
. cvii.

P aratum cor mei
deus. paratum cor
mei. cantabo & psallam in
gloria mei.
Exurge gloria mei exurge
psalterium & cithara. exur

θήσομαι ὄρθρου.
ἐξομολογήσομαί σοι ἐν λαοῖς.
κύριε ψαλῶ σοι ἐν ἔθνεσι.
Ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν
τὸ ἔλεος σου. καὶ ἕως τῶν νε
φελῶν ἡ ἀλήθειά σου.
Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς
ὁ θεός. καὶ ἐπὶ πᾶσαν τὴν γῆν
ἡ δόξα σου.
Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί
σου σῶσον τῇ δεξιᾷ σου καὶ ἐ
πάκουσόν μου.
Ὁ θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐ
τοῦ εὐφρανθήσομαι καὶ δια
μεριῶ σίκιμα καὶ τὴν κοιλά
δα τῶν σκηνῶν διαμετρήσω.
Ἐμός ἐστι γαλαὰδ καὶ ἐμός ἐστι
μανασσῆς καὶ ἐφραὶμ ἀντίλη
ψις τῆς κεφαλῆς μου.
Ἰούδας βασιλεύς μου μωὰβ λέ
βης τῆς ἐλπίδος μου.
Ἐπὶ τὴν ἰδουμαίαν ἐπιβαλῶ
τὸ ὑπόδημά μου. ἐμοὶ ἀλλόφυ
λοι ὑπετάγησαν.
Τίς ἀπάξει με εἰς πόλιν περιο
χῆς. ἢ τίς ὁδηγήσει με ἕως
τῆς ἰδουμαίας;
Οὐχὶ σὺ ὁ θεὸς ὁ ἀποσάμενος
ἡμᾶς καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς

gam diluculo.
Confitebor tibi in populis
domine psallam tibi in gentibus.
Quoniam magna supra cælos
misericordia tui. & usque nu
bes ueritas tui.
Exaltare super cælos
deus. & super omnem terram
gloria tui.
Ut liberentur dilecti
tui. salua dextera tui & exau
di me.
Deus locutus est in sancto e
ius. Lætabor & par
tibor Sicima. & conual
lem tabernaculorum dimetiar
Meus est Galaad & meus est
Manasses. & ephræm susce
ptio capitis mei.
Iudas rex mei. Moab le
bes spei mei.
In idumæam extendam
calciamentum mei. mihi alieni
genæ subditi sunt.
Quis abducet in ciuitatem circun
stantiæ/aut quis deducet me usque
Idumæam?
Nonne tu deus qui reppulisti
nos. & non egredieris deus

ἐν ταῖς δυνάμεσιν ἡμῶν.	in uirtutibus nostrum.
Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως	Da nobis auxilium ex tribulatione
καὶ ματαία σωτηρία ἀνθρώ-	& uana salus homi-
που.	nis.
Ἐν τῷ θεῷ ποιήσομεν δύναμιν	In deo faciemus uirtutem.
καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐ-	& ipse ad nihilum deducet ini-
χθροὺς ἡμῶν.	micos nostrum.
Εἰς τὸ τέλος τῷ Δαυὶδ ψαλ-	In finem Dauid. psalmus
μός. ρη.	. cviii.
ὁ θεὸς τὴν αἴνεσίν	d eus laudem
μου μὴ παρασιωπήσῃς	mei ne tacueris.
ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα	quoniam os peccatoris & os
δολίου ἐπ' ἐμὲ ἠνοίχθη.	dolosi super me apertum est.
Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ	Locuti sunt contra me lingua dolo-
δολίᾳ καὶ λόγοις μίσους ἐκύκλω-	sa. & sermonibus odii circūdede-
σάν με. καὶ ἐπολέμησάν με δω-	runt me. & oppugnauerunt me gra-
ρεάν.	tis.
Ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλ-	Pro diligere me detrahe-
λόν με. ἐγὼ δὲ προσηυχόμην.	bant mihi. ego autem orabam.
Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀν-	Et posuerunt contra me mala
τὶ ἀγαθῶν. καὶ μῖσος ἀντὶ	pro bonis. & odium pro
τῆς ἀγαπήσεώς μου.	dilectione mei.
Κατάστησον ἐπ' αὐτὸν ἁμαρτω-	Constitue super eum pecca-
λόν. καὶ διάβολος στήτω ἐκ	torem. & criminator stet a
δεξιῶν αὐτοῦ.	dextris eius.
Ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι	In iudicari eum exeat
καταδεδικασμένος. καὶ ἡ	condemnatus. &

προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁ	oratio eius fiat in in pec
μαρτίαν.	catum.
Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ	Fiant dies eius
ὀλίγαι καὶ τὴν ἐπισκοπὴν αὐ	pauci . & episcopatum e
τοῦ λάβοι ἕτερος.	ius accipiat alter .
Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρ	Fiant filii eius pu
φανοὶ καὶ ἡ γυνὴ αὐτοῦ χήρα	pilli . & uxor eius uidua .
σαλευόμενοι μετανάστήτωσαν	Commoti emigrent
οἱ υἱοὶ αὐτοῦ καὶ ἐπαιτησάτω	filii eius & men
σαν. ἐκβληθήτωσαν ἐκ τῶν οἰ	dicent . eiciantur ex ha
κοπέδων αὐτῶν.	bitationibus eorum .
Ἐξερευνησάτω δανειστὴς πάν	Scrutetur foenerator o
τα ὅσα ὑπάρχει αὐτῷ καὶ	mnia quæcunque subsistunt ei. &
διαρπασάτωσαν ἀλλότριοι	diripiant alieni
τοὺς πόνους αὐτοῦ.	labores eius .
Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ μη	Non sit susceptor neque
δὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρ	fiat miserans pupil
φανοῖς αὐτοῦ.	los eius .
Γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς	Fiant filii eius in
ἐξολόθρευσιν. ἐν γενεᾷ μιᾷ ἐξα	interitum . in generatione una dele
λειφθείη τὸ ὄνομα αὐτοῦ.	atur nomen eius .
Ἀναμνησθείη ἀνομία τῶν πα	Rememoretur iniquitas pa
τρῶν αὐτοῦ ἔναντι κυρίου καὶ ἡ	tris eius coram domino . &
ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ	peccatum matris eius non
ἐξαλειφθείη.	deleatur .
Γενηθήτωσαν ἐναντίον κυρίου	Fiant contra dominum
διαπαντὸς καὶ ἐξολοθρευθείη	semper . & disperdatur
ἐκ γῆς τὸ μνημόσυνον αὐτοῦ.	ex terra memoria eius
Ἀνθ᾽ ὧν οὐκ ἐμνήσθη ποιῆσαι	Pro quibus non recordatus ē facere

ἔλεος καὶ κατεδίωξεν ἄνθρω
πον πένητα καὶ πτωχὸν καὶ
κατανενυγμένον τῇ καρδίᾳ
τοῦ θανατῶσαι.
Καὶ ἠγάπησε κατάραν καὶ ἥ-
ξει αὐτῷ. καὶ οὐκ ἠθέλησεν εὐ-
λογίαν καὶ μακρυνθήσεται ἀ
π' αὐτοῦ.
Καὶ ἐνεδύσατο κατάραν ὡς
ἱμάτιον καὶ εἰσῆλθεν ὡς ὕ
δωρ εἰς τὰ ἔγκατα αὐτοῦ.
καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέ
οις αὐτοῦ.
Γενηθήτω αὐτῷ ὡς ἱμάτιον ὃ
περιβάλλεται καὶ ὡσεὶ ζώνη
ἣν διαπαντὸς περιζώννυται.
Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλ
λόντων με παρὰ κυρίου. καὶ
τῶν λαλούντων πονηρὰ κατὰ
τῆς ψυχῆς μου.
Καὶ σὺ κύριε ποίησον με
τ' ἐμοῦ ἕνεκεν τοῦ ὀνόματός
σου ὅτι χρηστὸς τὸ ἔλε
ος σου.
Ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐ
γὼ. καὶ ἡ καρδία μου τετάρα
κται ἐντός μου.
Ὡς σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν
ἀνταναιρέθην. ἐξετινάχθην

misericordiam & ꝑsecutus est ho-
minem pauperem & mendicum &
compunctum corde
mortificare.
Et dilexit maledictionem & ue
niet ei. & non uoluit bene-
dictionem & elongabitur
ab eo.
Et induit maledictionem sicut
uestimentum. & introiuit sicut a
qua in intranea eius.
Et sicut oleum in ossi
bus eius.
Fiat ei sicut uestimentum quod
induitur. & sicut zona
quam semper præcingitur.
Hoc opus criminan
tium mea domino. &
loquentium maligna contra
animam mei.
Et tu domine fac me-
cum propter nomen
tui. quoniã benigna est misericordi
a tui.
Quoniam pauper & inops sum e-
go & cor mei conturba-
tum est intra me.
Sicut umbra in declinare eam
ablatus sum. excussus sum

ὡσεὶ ἀκρίδες.
Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ
νηστείας καὶ ἡ σάρξ μου ἠλλοιώ
θη δι᾽ ἔλαιον, κἀγὼ ἐγενήθην ὄ
νειδος αὐτοῖς.
Εἴδοσάν με ἐσάλευσαν κεφα
λὰς αὐτῶν. βοήθησόν μοι κύριε ὁ
θεός μου, καὶ σῶσόν με κατὰ τὸ
ἔλεός σου.
Καὶ γνώτωσαν ὅτι ἡ χείρ σου
αὕτη. καὶ σὺ ἐποίησας αὐτήν.
Καταράσονται αὐτοὶ καὶ σὺ εὐ
λογήσεις οἱ ἐπανιστάμενοί μοι
αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός
σου εὐφρανθήσεται.
Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλ
λοντές με ἐντροπὴν καὶ περι
βαλλέσθωσαν ὡς διπλοΐδα
αἰσχύνην αὐτῶν.
Ἐξομολογήσομαι τῷ κυρίῳ
σφόδρα ἐν τῷ στόματί μου, καὶ
ἐν μέσῳ πολλῶν αἰνέσω αὐ
τόν.
Ὅτι παρέστη ἐκ δεξιῶν πένητος
τοῦ σῶσαι ἐκ τῶν καταδιω
κόντων τὴν ψυχήν μου.

Δό. Κάθ. ιε. Δαυὶδ ψαλμὸς
.ρθ.

sicut locustæ.
Genua mei languerunt præ
ieiunio & caro mei immuta
ta est propter oleum. & ego factus
sum obprobrium eis.
Viderunt me mouerunt capi
ta eorum. auxiliare mihi domine
deus mei & salua me secundum
misericordiam tui.
Et sciant quoniam manus tui
hec. & tu fecisti eam.
Maledicent ipsi & tu bene
dices. insurgentes mihi
confundantur. sed seruus
tui lætabitur.
Induantur criminan
tes me reuerentiam & indu
antur sicut diploidem
confusionem eorum.
Confitebor domino
nimis in ore mei. &
in medio multorum laudabo e
um.
Quoniam astitita dextris pauperis
saluare ex persequen
tibus animam mei.

Gloria. Sessio .xv. Dauid psalmus
.cviiii.

ἐ ἶπεν ὁ κύριος
τῷ κυρίῳ μου. κάθου
ἐκ δεξιῶν μου.
ἕως ἂν θῶ τοὺς ἐχθρούς σου
ὑποπόδιον τῶν ποδῶν σου.
ῥάβδον δυνάμεως ἐξαπο
στελεῖ κύριος ἐκ σιὼν. καὶ κα
τακυρίευε ἐν μέσῳ τῶν ἐχ
θρῶν σου.
Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς
δυνάμεώς σου ἐν ταῖς λαμ
πρότησι τῶν ἁγίων σου. ἐκ
γαστρὸς πρὸ ἑωσφόρου ἐγέν
νησά σε.
ὤμοσε κύριος καὶ οὐ μετα
μεληθήσεται. σὺ εἶ ἱερεὺς εἰς
τὸν αἰῶνα κατὰ τὴν τάξιν
μελχισεδέκ.
Κύριος ἐκ δεξιῶν σου συνέ
θλασεν ἐν ἡμέρᾳ ὀργῆς
αὐτοῦ βασιλεῖς.
Κρινεῖ ἐν τοῖς ἔθνεσι πλη
ρώσει πτώματα. συνθλά
σει κεφαλὰς ἐπὶ γῆς πολ
λῶν.
ἐκ χειμάρρου ἐν ὁδῷ πίε
ται. διὰ τοῦτο ὑψώσει κε
φαλήν.

d ixit dominus
domino mei. ſede
a dextris mei.
Donec ponam inimicos tui
ſuppedaneum pedum tui.
Virgam uirtutis emit
tet dominus ex ſion. & domina
re in medio inimico
rum tui.
Cum te principium in die
uirtutis tui in ſplendo
ribus ſanctorum tui. ex
utero ante luciferum ge
nui te.
Iurauit dominus & non poeni
tebit. tu es ſacerdos in
æternum ſecundum ordinem
Melchiſedec.
Dominus a dextris tui con
fregit in die irae
ſui reges.
Iudicabit in nationibus im
plebit ruinas. conquaſſa
bit capita in terra mul
torum.
De torrente in uia bi
bet. propterea exaltabit ca
put.

ἐ ξομολογήσομαί σοι
κύριε ἐν ὅλῃ καρδίᾳ
μου ἐν βουλῇ εὐθέων καὶ συνα
γωγῇ.
Μεγάλα τὰ ἔργα κυρίου. ἐξε
ζητημένα εἰς πάντα τὰ θελή
ματα αὐτοῦ.
Ἐξομολόγησις καὶ μεγαλοπρέ
πεια τὸ ἔργον αὐτοῦ. καὶ ἡ δι
καιοσύνη αὐτοῦ μένει εἰς
τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶ
να τοῦ αἰῶνος.
Μνείαν ἐποιήσατο τῶν θαυ
μασίων αὐτοῦ. ἐλεήμων
καὶ οἰκτίρμων ὁ κύριος. τρο
φὴν ἔδωκε τοῖς φοβουμέ
νοις αὐτόν.
Μνησθήσεται εἰς τὸν αἰῶνα
διαθήκης αὐτοῦ. ἰσχὺν ἔρ
γων αὐτοῦ ἀνήγγειλε τῷ λα
ῷ αὐτοῦ.
Τοῦ δοῦναι αὐτοῖς κληρονο
μίαν ἐθνῶν. ἔργα χειρῶν αὐ
τοῦ ἀλήθεια καὶ κρίσις.
Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐ
τοῦ ἐστηριγμέναι εἰς τὸν
αἰῶνα τοῦ αἰῶνος. πεποιημέ

c onfitebor tibi
domine in toto corde
mei in consilio rectorum & con
gregatione.
Magna opera domini. exquisi
ta in omnes uolunta
tes eius.
Confessio & magnificen
tia opus eius. & iusti
cia eius manet in
sæculum. & in sæcu
lum sæculi.
Memoriam fecit mirabi
lium eius. misericors
& miserator dominus. es
cam dedit timenti
bus eum.
Recordabitur in sæculum
testamenti eius. uirtutem ope
rum eius annuntiabit po
pulo eius.
Dare illis hæredita
tem gentium. opera manuum
eius ueritas & iudicium.
Fidelia omnia mandata e
ius firmata in
sæculum sæculi. fa

ναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι.
Λύτρωσιν ἀπέστειλε τῷ λα-
ῷ αὐτοῦ· ἐνετείλατο εἰς τὸν
αἰῶνα διαθήκην αὐτοῦ.
Ἅγιον καὶ φοβερὸν τὸ ὄνομα
αὐτοῦ. ἀρχὴ σοφίας φόβος
κυρίου.
Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς
ποιοῦσιν αὐτήν. ἡ αἴνεσις
αὐτοῦ μένει εἰς τὸν αἰῶνα
τοῦ αἰῶνος.

Ἀλληλούϊα. ρια.

Μ ακάριος ἀνὴρ ὁ φοβού-
